74 Ἀνερρίφθω κύβος: Ἐπὶ τῶν ἀνελπίστοις ἑαυτοὺς ἐπιρριπτόντων, ἢ ὑπό τινος βίας συνωθουμένων. D

75 Ἀνίπτοις χερσίν: Ἐπὶ τῶν σκωπτικῶν τίθεται. Τέλλην γὰρ αὐλητὴς ἐγένετο καὶ μελῶν ποιητής, καταλελοιπὼς παίγνια εὐρυθμότατα καὶ σκώμματα κομψότατα. Οἱ δὲ, ὅτι μελῶν ἦν ἀνυποτάκτων ποιητής. Μέμνηται αὐτοῦ Δικαίαρχος ὁ Μεσηναῖος. E

76 Αἰθίοπα σμήχων: Ἐπὶ τῶν μάτην καὶ ἀνηνύτων. Ὁμοία τῇ Χύτραν ποικίλλεις.

77 Αἰσώπειον αἷμα: Ἐπὶ τῶν δυσαπονίπτοις ὀνείδεσι καὶ κακοῖς συνεχομένων. Ἐπειδὴ τοῖς ἀδίκως τὸν Αἴσωπον ἀνελοῦσιν ὠργίσθη τὸ δαιμόνιον, καὶ διὰ τοῦτο τὴν Πυθίαν ἱλάσκεσθαι ἐπὶ τὸ F Αἰσώπου μύσος. Οὕτω δὲ θεοφιλὴς ἐγένετο ὁ Αἴσωπος, ὡς μυ-

67. Zen. I. 39.
[1] ἐρέσσειν Zen.
68. Zen. I. 40.
69. Zen. I. 41.
70. Zen. I. 42.
71. Zen. I. 43.
72. Similiter Hesychius.
73. Zen. I. 44.
74. Vid. Schol. Aristid. p. 498.
75. Ἀνίπτοις χερσίν] Interciderunt, ni fallor, Ἐπὶ τῶν βεβήλοις χερσὶ τοῖς ἱεροῖς ἐγχειρούντων. Ἄειδε τὰ Τέλληνος. Vid. Zenob. I. 45. II. 15. Diogen. I. 43.
76. Zen. I. 46.
77. Zen. I. 47.

θεύεσθαι αὐτὸν ἀναβιῶναι, ὡς Τυνδάρεων καὶ Ἡρακλῆν καὶ A
Γλαῦκον.

78 Αἰγαῖαν ἐμβολήν: *Ἐπὶ τῶν εὐτελῶν φορτίων.*

79 Αἰγιεῖς οὔτε τρίτοι οὔτε τέταρτοι: *Ἐπὶ τῶν εὐτελῶν καὶ μηδενὸς ἀξίων. Οἱ γὰρ Αἰγιεῖς νικήσαντες Αἰτωλοὺς τὴν Πυθίαν ἐξηρώτων τίνες εἰσὶ κρείττονες τῶν Ἑλλήνων· ἡ δὲ εἶπεν,* Ὑμεῖς B
δ' Αἰγιεῖς οὔτε τρίτοι οὔτε τέταρτοι. *Τινὲς δέ φασιν ἐπὶ Μεγαρέων λεχθῆναι.*

80 Ἄκαιρος εὔνοια οὐδὲν ἔχθρας διαφέρει: *Ταύτην φασὶν Ἱππόλυτον εἰπεῖν πρὸς Φαίδραν φάσκουσαν φιλεῖν αὐτὸν καὶ στέργειν παρὰ πάντας ἀνθρώπους.* C

81 Ἀκάνθιος τέττιξ: *Ἐπὶ τῶν ἀφανῶν καὶ μάλιστα ἀμούσων, παρ' ὅσον οἱ Ἀκάνθιοι τέττιγες οὐκ ᾄδουσιν. Ὅθεν ἐρεῖς καὶ* ἀμουσότερος Ἀκανθίου τέττιγος.

82 Ἀκεσίας ἰάσατο: *Ἐπὶ τῶν ἐπὶ τὸ χεῖρον ἰωμένων. Ὅλην δὲ Ἀριστοφάνης ἐν τετραμέτροις τὴν παροιμίαν ἐκφέρει,* D

Ἀκεσίας τὸν πρωκτὸν ἰάσατο,

λέγων.

83 Ἀκκώ: *Ἐπὶ τῶν μωραινόντων. Γέγονεν γὰρ ἡ Ἀκκὼ γυνὴ ἐπὶ μωρίᾳ διαβαλλομένη, ἀφ' οὗ καὶ τὸ Ἀκκίζεσθαι ἤτοι θρύπτεσθαι.*

84 Ἄκουε τοῦ τέτταρα ὦτα ἔχοντος: *Ἡ παροιμία παραγ-* E
γέλλει τῶν ἀληθευόντων ἀκούειν· οὐδεὶς γὰρ ἀψευδέστερος τοῦ Ἀπόλλωνος, ὃν τετράχειρα καὶ τετράωτον ἱδρύσαντο Λακεδαιμόνιοι, ὥς φησι Σωσίβιος, ὅτι τοιοῦτος ἐφάνη τοῖς περὶ Ἀμύκλας.

85 Ἀκίνητα κινεῖς:

86 Ἀκεσέως καὶ Ἑλικῶνος ἔργα: *Ἐπὶ τῶν θαύματος ἀξίων.* F
Οὗτοι γὰρ πρῶτοι τῆς Παλλάδος Ἀθηνᾶς πέπλον ἐδημιούργησαν. Ἦν δὲ ὁ μὲν Ἀκεσεὺς γένος Παταρῶν, ὁ δὲ Ἑλικὼν Καρύστιος.

87 Ἄκρον λάβε καὶ μέσον ἕξεις: *Ἐπὶ τῶν δυσφορωτάτων καὶ δυσνοήτων.*

78. F. corrupte pro *Αἰγιναίαν ἐμπολήν.*
79. Zen. I. 48.
80. Zen. I. 50.
81. Zen. I. 51. ubi *ἀφώνων.*
82. Zen. I. 52.
83. Zen. I. 53.
84. Zen. I. 54.
85. Zen. I. 55.
86. Zen. I. 56.
87. Zen. I. 57.

88 ἈΚΌΝΗΝ ΣΙΤΊΖΕΙΣ: Ἐπὶ τῶν τροφῇ πολλῇ χρωμένων, καὶ A
μηδὲν εἰς τὸ σῶμα ἐπιδιδόντων.

89 ἈΚΈΦΑΛΟΣ ΜΥ̃ΘΟΣ: Ἐπὶ τῶν ἀτελῆ λεγόντων. Μέμνηται ταύτης Πλάτων, "μῦθον ἀκέφαλον," εἰπὼν, "καταλίποιμι."

90 ἌΚΡΩΙ ἊΨΑΣΘΑΙ ΔΑΚΤΎΛΩΙ: Ἐπὶ τῶν οὐκ ἀκριβῶς ἠσκημένων· οἷον, B

Οὐδὲ κατὰ τὴν παροιμίαν ἄκρῳ ἀψάμενος δακτύλῳ ἠπίστατο.

91 ἍΛΑΣ ΚΑῚ ΤΡΆΠΕΖΑΝ ΜῊ ΠΑΡΑΒΑΊΝΕΙΝ: Ἐπειδὴ τοῖς κοινωνήσασι τούτων φίλοις χρῆσθαι δεῖ.

92 ἍΛΜΗ ΟὐΚ ἜΝΕΣΤΙΝ ΑὐΤΩ̃Ι: Ἐπὶ τοῦ γλυκέος καὶ ἀηδοῦς κατ' εἰρώνειαν εἴρηται. C

93 ἌΛΛΟΙ ΚΆΜΟΝ, ἌΛΛΟΙ ὪΝΑΝΤΟ: Ἐπὶ τῶν παρ' ἐλπίδα κληρονομησάντων.

94 ἈΛΛ' ΟὐΔῈΝ ΔΕΙ̃ ΠΑΡᾺ ΤῸΝ ΒΩΜῸΝ ΤᾺΣ ἘΠΙΝΟΊΑΣ: Ὅτι μὴ χρὴ ἐν αὐτοῖς τοῖς πράγμασι βουλεύεσθαι, ἀλλὰ πρὸ τῶν πραγμάτων· παρ' ὅσον καὶ οἱ τὰ ἱερεῖα προσάγοντες οὐ μετὰ τὸ καλ- D
λιερῆσαι βουλεύονται.

95 ἈΛΛ' ΟὐΚ ΑὖΘΙΣ ἈΛΏΠΗΞ: Λείπει τὸ ἁλώσιμος· ἅπαξ γὰρ διαφυγοῦσα δεύτερον οὐχ ἁλώσεται. Ἐπὶ τῶν πονηρίαν καὶ συκοφαντίαν ἐκφυγόντων.

96 ἈΛΕΚΤΡΥΌΝΩΝ ΜΈΜΦΕΣΘΑΙ ΚΟΙΛΊΑΝ: Ἐπὶ τῶν περὶ τὸν βίον E
ἁβροδιαίτων.

97 ἌΛΛΟ ΓΛΑῦΞ ἌΛΛΟ ΚΟΡΏΝΗ ΦΘΈΓΓΕΤΑΙ: Ἐπὶ τῶν τοῖς κρείττοσιν ἐριζόντων· ἢ τῶν ἀλλήλοις μὴ συμφωνούντων.

98 ἈΛΩΠΕΚΊΖΕΙΝ ΠΡῸΣ ἙΤΈΡΑΝ ἈΛΏΠΕΚΑ: Ἐπὶ τῶν ἐξαπατᾶν ἐπιχειρούντων τοὺς ὁμοίους. F

99 ἈΛΏΠΗΞ ΟὐΔΩΡΟΔΟΚΕΙ̃ΤΑΙ: Ἐπὶ τῶν οὐ ῥᾳδίως ἁλισκομένων δώροις.

100 ἌΛΛΩΣ ἌΙΔΕΙΣ: Ἐπὶ τῶν μάτην πονούντων.

88. Zen. I. 58.
89. Zen. I. 59.
90. Zen. I. 61.
91. Zen. I. 62.
92. Zen. I. 63.
93. Zen. I. 65.
94. Zen. I. 66.
95. Zen. I. 67.
96. Zen. I. 68.
97. Zen. I. 69.
98. Zen. I. 70.
99. Zen. I. 71.
100. Zen. I. 72.

101 ἌΛΛΟΙΣΙ ΜῈΝ ΓΛΩ͂ΣΣΑ ἌΛΛΟΙΣΙ ΔῈ ΓΟΜΦΊΟΙ: Οἱ μὲν γὰρ A
λαλοὶ, οἱ δὲ φάγοι.

102 ἌΛΛΑ ΜῈΝ ΛΕΎΚΩΝΟΣ ὌΝΟΣ, ἌΛΛΑ ΔῈ ΛΕΎΚΩΝ ΦΈΡΕΙ: Ἐπὶ τῶν ἀσυμφώνως τοὺς λόγους τοῖς ἔργοις παρεχομένων. Λεύκων γάρ τις γεωργὸς μέλιτος ἀσκοὺς εἰς φορμὸν ἐμβαλὼν ἐκόμιζεν Ἀθήναζε, κριθὰς τοῖς φορμοῖς ἐμβαλὼν, ὡς ἀπὸ κριθῶν ὀλίγον B
εἰσπραχθησόμενος τέλος. Τοῦ δ' ὄνου πεσόντος, οἱ τελῶναι βοηθῆσαι βουλόμενοι, ἔμαθον ὅτι μέλι ἐστὶ, καὶ ἀπηνέγκαντο αὐτὸ ὡς ἀτελώνητον.

103 ἌΛΛΗΝ ΜῈΝ ἘΞΑΝΤΛΟΥ͂ΜΕΝ, Ἡ Δ' ἘΠΕΙΣΡΈΕΙ: Ἐπὶ τῶν πονούντων καὶ πλέον οὐδὲν ἀνυόντων. C

104 ἈΜΕΙΝΌΝΩΝ ΟἸΩΝΩ͂Ν ΤΥΧΕΙ͂Ν: Ἐπὶ τῶν ἐκ κακῶν εἰς ἀγαθὸν μεταβαινόντων.

105 ἊΜ' ἜΠΟΣ ἊΜ' ἜΡΓΟΝ: Ἐπὶ τῶν ταχέως καὶ ὀξέως ἀνυομένων.

106 [ἈΡΓΟΣ ΓΩΝΊΑ:] Ἐπὶ τῶν ἀργῶς καὶ ῥαθύμως καθημένων. D
Ἔστι δὲ . . . . γωνία.

107 ἈΜΟΥΣΌΤΕΡΟΣ ΛΕΙΒΗΘΡΊΩΝ: Ἐπὶ τῶν ἀμούσων καὶ ἀπαιδεύτων. Λειβήθριοι γὰρ ἔθνος Πιερικὸν ἀμουσότατον, ἐν ᾧ καὶ τοῦ Ὀρφέως φασὶ γενέσθαι τὸν θάνατον.

108 ἊΜΜΟΝ ΜΕΤΡΕΙ͂Ν: Ἐπὶ τῶν ἀδυνάτων. E

109 ἊΜ' ἩΛΈΗΤΑΙ ΚΑῚ ΤΈΘΝΗΚΕΝ Ἡ ΧΆΡΙΣ: Ἐπὶ τῶν εὐεργετουμένων καὶ παραχρῆμα τῆς χάριτος ἐπιλανθανομένων.

110 ἊΜΑΣ ἈΠΗ͂ΙΤΟΥΝ, ΟἹ Δ' ἈΠΗΡΝΟΥ͂ΝΤΟ ΣΚΑΦΆΣ: Ἐπὶ τῶν ἄλλα μὲν ἀπαιτουμένων, ἄλλα δὲ μὴ ἔχειν ἀρνουμένων.

111 ἊΝ ΜῊ ΠΑΡΗ͂Ι ΚΡΈΑΣ ΤΆΡΙΧΟΣ ΣΤΕΡΚΤΈΟΝ: Ὑποθετικόν. F
Παρεγγυᾷ γὰρ ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι.

112 ἈΝΆΓΚῌ ΟΥ̓ΔῈ ΘΕΟῚ ΜΆΧΟΝΤΑΙ:

113 ἈΝΔΡΑΠΟΔΏΔΗΣ ΘΡΊΞ: Ἐπὶ τῶν ἠλιθίων. Πλάτων·
Ἔχων τὰς ἀνδραποδώδεις ἐπὶ τῆς ψυχῆς τρίχας ὑπὸ τῆς ἀμουσίας.

101. Zen. I. 73.
102. Zen. I. 74.
103. Zen. I. 75.
104. Zen. I. 76.
105. Zen. I. 77.
106. Vix legenda in B. Vid. Zen. I. 78.
107. Zen. I. 79.
108. Zen. I. 80.
109. Zen. I. 81.
110. Zen. I. 83.
111. Zen. I. 84.
112. Zen. I. 85.
113. Diog. I. 73.

88 Ἀκόνην σιτίζεις: Ἐπὶ τῶν τροφῇ πολλῇ χρωμένων, καὶ A
μηδὲν εἰς τὸ σῶμα ἐπιδιδόντων.

89 Ἀκέφαλος μῦθος: Ἐπὶ τῶν ἀτελῆ λεγόντων. Μέμνηται
ταύτης Πλάτων, "μῦθον ἀκέφαλον," εἰπών, "καταλίποιμι."

90 Ἄκρῳ ἅψασθαι δακτύλῳ: Ἐπὶ τῶν οὐκ ἀκριβῶς ἠσκημένων· οἷον, B

Οὐδὲ κατὰ τὴν παροιμίαν ἄκρῳ ἁψάμενος δακτύλῳ ἠπίστατο.

91 Ἅλας καὶ τράπεζαν μὴ παραβαίνειν: Ἐπειδὴ τοῖς κοινωνήσασι τούτων φίλοις χρῆσθαι δεῖ.

92 Ἅλμη οὐκ ἔνεστιν αὐτῷ: Ἐπὶ τοῦ γλυκέος καὶ ἀηδοῦς
κατ' εἰρώνειαν εἴρηται. C

93 Ἄλλοι κάμον, ἄλλοι ὄναντο: Ἐπὶ τῶν παρ' ἐλπίδα κληρονομησάντων.

94 Ἀλλ' οὐδὲν δεῖ παρὰ τὸν βωμὸν τὰς ἐπινοίας: Ὅτι μὴ
χρὴ ἐν αὐτοῖς τοῖς πράγμασι βουλεύεσθαι, ἀλλὰ πρὸ τῶν πραγ-
μάτων· παρ' ὅσον καὶ οἱ τὰ ἱερεῖα προσάγοντες οὐ μετὰ τὸ καλ- D
λιερῆσαι βουλεύονται.

95 Ἀλλ' οὐκ αὖθις ἀλώπηξ: Λείπει τὸ ἁλώσιμος· ἅπαξ γὰρ διαφυγοῦσα δεύτερον οὐχ ἁλώσεται. Ἐπὶ τῶν πονηρίαν καὶ συκοφαντίαν ἐκφυγόντων.

96 Ἀλεκτρυόνων μέμφεσθαι κοιλίαν: Ἐπὶ τῶν περὶ τὸν βίον E
ἁβροδιαίτων.

97 Ἄλλο γλαὺξ ἄλλο κορώνη φθέγγεται: Ἐπὶ τῶν τοῖς κρείττοσιν ἐριζόντων· ἢ τῶν ἀλλήλοις μὴ συμφωνούντων.

98 Ἀλωπεκίζειν πρὸς ἑτέραν ἀλώπεκα: Ἐπὶ τῶν ἐξαπατᾶν
ἐπιχειρούντων τοὺς ὁμοίους. F

99 Ἀλώπηξ οὐ δωροδοκεῖται: Ἐπὶ τῶν οὐ ῥᾳδίως ἁλισκομένων δώροις.

100 Ἄλλως ᾄδεις: Ἐπὶ τῶν μάτην πονούντων.

88. Zen. I. 58.
89. Zen. I. 59.
90. Zen. I. 61.
91. Zen. I. 62.
92. Zen. I. 63.
93. Zen. I. 65.
94. Zen. I. 66.
95. Zen. I. 67.
96. Zen. I. 68.
97. Zen. I. 69.
98. Zen. I. 70.
99. Zen. I. 71.
100. Zen. I. 72.

101 ἌΛΛΟΙΣΙ ΜῈΝ ΓΛῶΣΣΑ ἌΛΛΟΙΣΙ ΔῈ ΓΟΜΦΊΟΙ: Οἱ μὲν γὰο A
λαλοὶ, οἱ δὲ φάγοι.

102 ἌΛΛΑ ΜῈΝ ΛΕΎΚΩΝΟΣ ὌΝΟΣ, ἌΛΛΑ ΔῈ ΛΕΎΚΩΝ ΦΈΡΕΙ: Ἐπὶ τῶν ἀσυμφώνως τοὺς λόγους τοῖς ἔργοις παρεχομένων. Λεύκων γάρ τις γεωργὸς μέλιτος ἀσκοὺς εἰς φορμὸν ἐμβαλὼν ἐκόμιζεν Ἀθήναζε, κριθὰς τοῖς φορμοῖς ἐμβαλὼν, ὡς ἀπὸ κριθῶν ὀλίγον B
εἰσπραχθησόμενος τέλος. Τοῦ δ' ὄνου πεσόντος, οἱ τελῶναι βοηθῆσαι βουλόμενοι, ἔμαθον ὅτι μέλι ἐστὶ, καὶ ἀπηνέγκαντο αὐτὸ ὡς ἀτελώνητον.

103 ἌΛΛΗΝ ΜῈΝ ἘΞΑΝΤΛΟΥ͂ΜΕΝ, Ἡ Δ' ἘΠΕΙΣΡΈΕΙ: Ἐπὶ τῶν πονούντων καὶ πλέον οὐδὲν ἀνυόντων. C

104 ἈΜΕΙΝΌΝΩΝ ΟἸΩΝῶΝ ΤΥΧΕΙ͂Ν: Ἐπὶ τῶν ἐκ κακῶν εἰς ἀγαθὸν μεταβαινόντων.

105 ἊΜ' ἜΠΟΣ ἊΜ' ἜΡΓΟΝ: Ἐπὶ τῶν ταχέως καὶ ὀξέως ἀνυομένων.

106 [ἌΡΓΟΣ ΓΩΝΊΑ:] Ἐπὶ τῶν ἀργῶς καὶ ῥαθύμως καθημένων. D
Ἔστι δὲ . . . . γωνία.

107 ἈΜΟΥΣΌΤΕΡΟΣ ΛΕΙΒΗΘΡΊΩΝ: Ἐπὶ τῶν ἀμούσων καὶ ἀπαιδεύτων. Λειβήθριοι γὰρ ἔθνος Πιερικὸν ἀμουσότατον, ἐν ᾧ καὶ τοῦ Ὀρφέως φασὶ γενέσθαι τὸν θάνατον.

108 ἊΜΜΟΝ ΜΕΤΡΕΙ͂Ν: Ἐπὶ τῶν ἀδυνάτων. E

109 ἊΜ' ἩΛΈΗΤΑΙ ΚΑῚ ΤΈΘΝΗΚΕΝ Ἡ ΧΆΡΙΣ: Ἐπὶ τῶν εὐεργετουμένων καὶ παραχρῆμα τῆς χάριτος ἐπιλανθανομένων.

110 ἊΜΑΣ ἈΠῄΤΟΥΝ, ΟἹ Δ' ἈΠΗΡΝΟΥ͂ΝΤΟ ΣΚΑΦΆΣ: Ἐπὶ τῶν ἄλλα μὲν ἀπαιτουμένων, ἄλλα δὲ μὴ ἔχειν ἀρνουμένων.

111 ἊΝ ΜῊ ΠΑΡῆΙ ΚΡΈΑΣ ΤΆΡΙΧΟΣ ΣΤΕΡΚΤΈΟΝ: Ὑποθετικόν. F
Παρεγγυᾷ γὰρ ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι.

112 ἈΝΆΓΚῌ ΟΥ̓ΔῈ ΘΕΟῚ ΜΆΧΟΝΤΑΙ:

113 ἈΝΔΡΑΠΟΔΏΔΗΣ ΘΡΊΞ: Ἐπὶ τῶν ἠλιθίων. Πλάτων·
Ἔχων τὰς ἀνδραποδώδεις ἐπὶ τῆς ψυχῆς τρίχας ὑπὸ τῆς ἀμουσίας.

101. Zen. I. 73.
102. Zen. I. 74.
103. Zen. I. 75.
104. Zen. I. 76.
105. Zen. I. 77.
106. Vix legenda in B. Vid. Zen. I. 78.
107. Zen. I. 79.
108. Zen. I. 80.
109. Zen. I. 81.
110. Zen. I. 83.
111. Zen. I. 84.
112. Zen. I. 85.
113. Diog. I. 73.

114 ἈΝῊΡ ΔῈ ΦΕΎΓΩΝ ΟΥ̓ ΜΈΝΕΙ ΛΎΡΑΣ ΚΤΎΠΟΝ: Ἐπὶ τῶν τα- A
χέως καὶ ὀξέως ὀφειλόντων ἕκαστα.

115 ἈΝΔΡῚ ΛΥΔΩ͂Ι ΠΡΆΓΜΑΤ᾿ ΟΥ̓Κ ἮΝ, ἈΛΛ᾿ ΑΥ̓ΤῸΣ ἘΞΕΛΘῺΝ
ἘΠΡΊΑΤΟ: Ἐπὶ τῶν κακὰ ἑαυτοῖς ἐπισπωμένων· παρ᾿ ὅσον ὁ
Κροῖσος ἑαυτῷ πολέμιον ἐπεσπάσατο Κῦρον.

116 ἈΝΤῚ ΠΈΡΚΗΣ ΣΚΟΡΠΊΟΝ: Ἐπὶ τῶν τὰ χείρω αἱρουμένων B
τῶν βελτιόνων.

117 ἈΝΕΩΓΜΈΝΑΙ ΜΟΥΣΩ͂Ν ΘΥ̓ΡΑΙ: Ἐπὶ τῶν ἐξ ἑτοίμου λαμβα-
νόντων τὰ κάλλιστα ἐν τῇ παιδείᾳ.

118 ἈΝΔΡῸΣ ΓΈΡΟΝΤΟΣ ΑἹ ΓΝΆΘΟΙ ΒΑΚΤΗΡΊΑΙ: Ἐπὶ τῶν πρὸς τὸ
γῆρας πολλὰ ἐσθιόντων. C

119 ἈΝΔΡῸΣ ΚΑΚΩ͂Σ ΠΡΆΤΤΟΝΤΟΣ ἘΚΠΟΔῺΝ ΦΊΛΟΙ: Ἐπὶ τῶν ἐν
κακοῖς παρεωρωμένων ὑπὸ τῶν πάλαι φίλων.

120 ἊΝΘΡΩΠΟΣ ἈΝΘΡΏΠΟΥ ΔΑΙΜΌΝΙΟΝ: Ἐπὶ τῶν ἀπροσδοκήτως
ὑπό τινων σωζομένων, ἢ καὶ διά τινων εὐδαιμονούντων.

121 ἊΝ ΟἿΝΟΝ ΑἸΤΗ͂Ι ΚΌΝΔΥΛΟΝ ΑΥ̓ΤΩ͂Ι ΔΊΔΟΥ: Ἐπὶ τῶν ἀγαθὰ D
μὲν αἰτούντων, δεινὰ δὲ λαμβανόντων. Ἡ δὲ ἱστορία ἀπὸ τοῦ
Κύκλωπος αἰτήσαντος οἶνον τὸν Ὀδυσσέα, καὶ στερηθέντος τοὺς
ὀφθαλμούς.

122 ἈΝΈΜΟΥ ΠΕΔΊΟΝ: Ἐπὶ τῶν εὐμεταβόλων καὶ κούφων.

123 ἈΝΤΙΠΕΛΑΡΓΕΙ͂Ν: Ἐπὶ τῶν τὰς χάριτας ἀποδιδόντων. Λέγε- E
ται γὰρ τρέφειν τοὺς πελαργοὺς γηράσαντας τοὺς γονεῖς.

124 ἈΝΊΠΤΟΙΣ ΠΟΣῚΝ ἈΝΑΒΑΊΝΕΙΝ ἘΠῚ ΤῸ ΣΤΈΓΟΣ: Ἐπὶ τῶν
ἀμαθῶς ἐπί τινα ἔργα καὶ πράξεις ἀφικνουμένων.

125 ἈΝΔΡῸΣ ΓΈΡΟΝΤΟΣ ἈΣΤΑΦῚΣ ΤῸ ΚΡΑΝΊΟΝ: Ἐπὶ τῶν εἰς μη-
δὲν χρησιμευόντων· τὸ γὰρ σῶμα τῶν γερόντων ἀσθενές. F

126 ἈΝΤΛΕΙ͂Ν ἈΜΦΟΤΈΡΑΙΣ: Λείπει τὸ χερσίν. Ἐπὶ τῶν μετὰ
σπουδῆς τι ποιούντων.

127 ἈΝΈΜΟΥΣ ΓΕΩΡΓΕΙ͂Σ: Πρὸς τοὺς πονοῦντας καὶ μηδενὸς

114. Zen. I. 86.
115. Zen. I. 87.
116. Zen. I. 88.
117. Zen. I. 89.
118. Diog. I. 78.
119. Zen. I. 90.
120. Zen. I. 91.
121. Zen. I. 92.
122. Diog. I. 82.
123. Zen. I. 94.
124. Zen. I. 95.
125. Zen. I. 96.
126. Zen. I. 98.
127. Zen. I. 99.

μεταλαγχάνοντας, ἐπειδὴ καὶ ὁ ἄνεμος πάντα μὲν φύει καὶ αὔξει, A
οὐδενὸς δὲ μεταλαγχάνει ἢ μόνης ἄχνης.

128 ἈΝΤῚ ΚΑΚΟΥ͂ ΚΥΝῸΣ ὟΝ ἈΠΑΙΤΕΙ͂Σ: Ἐπὶ τῶν κακὰ ἀντὶ τῶν κακῶν ἀποδιδόντων.

129 ἌΝΘΡΑΚΕΣ Ὁ ΘΗΣΑΥΡῸΣ ἈΝΑΠΈΦΗΝΕΝ: Ἐπὶ τῶν διαψευσθέντων ἐφ' οἷς ἤλπισαν. Μέμνηται αὐτῆς Λουκιανός· B

Τὸ γοῦν τοῦ λόγου [a]ἐκεῖνο ἄνθρακες ἡμῖν ὁ θησαυρὸς πέφηνε.

Καὶ πάλιν·

Ἄνθρακάς μου τὸν θησαυρὸν ἀπέφηνας.

130 ἌΞΙΟΣ ΤΟΥ͂ ΠΑΝΤΌΣ: Ἐπὶ τῶν σφόδρα τιμίων.

131 ἌΞΙΟΣ ΕἾ ΤΗ͂Σ ἘΝ ἌΡΓΕΙ ἈΣΠΊΔΟΣ: Ἐπὶ τῶν αἰδημόνων καὶ C
εὐγενῶν. Ἐπειδὴ καὶ οἱ ἐν Ἄργει φέριστοι παῖδες καὶ καθαροὶ ἀπό τινος νομίμου τὰς ἀσπίδας φοροῦντες πομπεύουσιν.

132 ἌΞΙΟΙ ΤΡΙΧΌΣ: Ἐπὶ τῶν εὐτελῶν καὶ μηδενὸς ἀξίων· τοῦτο γὰρ καὶ ἡ θρίξ.

133 ἈΠῸ ΒΡΑΔΥΣΚΈΛΩΝ ἽΠΠΩΝ ὌΝΟΣ ὌΡΟΥΣΕΝ: Ἐπὶ τῶν ἀπὸ D
τῶν εὐτελῶν ἐπὶ τὰ μείζω πηδώντων.

134 ἌΠΛΗΣΤΟΣ ΠΊΘΟΣ: Ἐπὶ τῶν γαστριμάργων. Μετενήνεκται δὲ ἀπὸ τοῦ πίθου τῶν Δαναΐδων.

135 ἈΠῸ ἽΠΠΩΝ ἘΠ' ὌΝΟΥΣ: Ἐπὶ τῶν ἀπὸ σεμνῶν εἰς εὐτελῆ
μεταβαινόντων, οἷον ἀπὸ γραμματικῆς εἰς χαλκευτικήν. E

136 ἈΠῸ ΒΑΛΒΊΔΟΣ: Ἤτοι ἀπ' ἀρχῆς.

137 ἈΠΉΝΤΗΣΕ ΚΕΡΑΥΝΟΥ͂ ΒΟΛῊ ΠΡῸΣ ὙΠΈΡΤΑΤΟΝ ἌΤΑΝ: Ἐπὶ τῶν ἄξια πασχόντων ὧν ἔδρασαν.

138 ἍΠΑΝΤΑ ΤΟΙ͂Σ ΣΟΦΟΙ͂Σ ΟΥ̓Κ ΕΥ̓͂ΚΟΛΑ: Ἐπὶ τῶν διὰ φρονήσεως
καὶ τῶν δυσκόλων περιγινομένων. F

139 ἌΠΕΡ ΤῊΝ ΓΛΑΥ͂ΚΑ ΘΗΡΑ͂Ν: Ἐπὶ τῶν εὐτελές τι ζητούντων· παρ' ὅσον ἡ γλαὺξ μικρὰ καὶ γλίσχρα θηρᾷ.

140 ἈΠῸ [b]ΝΑΝΝΆΚΟΥ: Ἐπὶ τῶν σφόδρα παλαιῶν καὶ ἀρχαίων.

128. Zen. I. 100.
129. Zen. II. 1.
[a] ἐκείνου B.
130. Zen. II. 2.
131. Zen. II. 3.
132. Zen. II. 4.
133. Zen. II. 5.
134. Zen. II. 6.
135. v. Suid.
136. Zen. II. 7.
137. Zen. II. 8.
138. Zen. II. 9.
139.
140. Vat. I. 10.
[b] Ναννάκου A. B.

Νάννακον γὰρ παλαιὸν καὶ ἀρχαῖον βασιλέα γενέσθαι Φρυγῶν ἐν A
Πισινοῦντι, καὶ ἔθη αὐτοῖς καταστήσασθαι· καὶ ταῦτα λέγειν αὐ-
τοὺς ΤᾺ ἈΠῸ ΝΑΝΝΆΚΟΥ.

141 ἉΠΛΟΥ͂Ν ΘΎΛΑΚΟΝ ΠΆΤΕΙ: Ἐπὶ τῶν εὐκαταφρονήτων.

142 ἈΤΤΙΚῸΣ ΕἸΣ ΛΙΜΈΝΑ: Ἐπὶ τῶν ἐπιδεικνυμένων. Οἱ γὰρ
Ἀττικοὶ ναῦται ὁπότε καταπλέοιεν ἐπιδεικνύμενοι τοῖς οἰκείοις B
προθυμότερον ἤλαυνον.

143 ἈΝΤ' ΕΥ̓ΕΡΓΕΣΊΗΣ ἈΓΑΜΈΜΝΟΝΑ ΔΗ͂ΣΑΝ ἈΧΑΙΟΊ: Αὕτη
κατὰ τῶν ἀχαρίστων λέγεται· πεποίηται δὲ ὑπὸ Μέσωνος τοῦ
Μεγαρέως.

144 ἉΛΩ͂ΝΗΤΟΝ ἈΝΔΡΆΠΟΔΟΝ: Ἴσον τὸ εὐτελές. Οἱ γὰρ ἔμποροι C
εἰς τὴν μεσόγειον ἀναβαίνοντες ἅλας ἐκόμιζον, ἀνθ' ὧν τοὺς οἰκέ-
τας. Ὅθεν καὶ ὁ Κωμικός,

Θρᾷξ εὐγενής εἶ πρὸς ἅλας ἠγορασμένος.

145 ΑἹ ΧΆΡΗΤΟΣ ὙΠΟΣΧΈΣΕΙΣ: Ἐπὶ τῶν προχείρως ἐπαγγελλο-
μένων. Χάρης γὰρ στρατηγὸς Ἀθηναίων προχείρως πολλὰ ἐπαγ- D
γελλόμενος.

146 ἈΡΓΥΡᾺΝ ΛΙΜΌΝ: Τοῖς ἀπειθοῦσιν ὁ Ἀπόλλων ἠπείλησε πολ-
λάκις ἀργυρὰν λιμὸν ἀποπέμπειν, ὡς μέλλουσιν ἀργυρίου σῖτον
ὠνήσεσθαι.

147 ἉΛΙΕῪΣ ΠΛΗΓΕῚΣ ΝΟΥ͂Ν ΟἼΣΕΙ: Αὕτη παραπλήσιός ἐστι τῇ E
ΠΑΘῺΝ ΔΈ ΤΕ ΝΉΠΙΟΣ ἜΓΝΩ. Ἁλιεὺς γὰρ, ὥς φασι, τοὺς ἁλισκο-
μένους ἰχθῦς ἀφυλάκτως μεταχειριζόμενος ἐπλήγη ὑπὸ σκορπίου.
Ἔφη τοίνυν ΝΟΥ͂Ν ΟἼΣΩ.

148 ἈΛΗΘΈΣΤΕΡΑ ΤΩ͂Ν ἘΠῚ ΣΆΓΡᾼ: Ταύτης μέμνηται Μέναν-
δρος καὶ Ἄλεξις. Λέγεται δὲ ὅτι Λοκροὶ Ἐπιζεφύριοι πόλεμον F
πρὸς Κροτωνιάτας ἔχον, καὶ ἔπεμψαν πρὸς Λακεδαίμονα συμμα-
χίας δεόμενοι. Οἱ δὲ ἀπείπαντο μὲν συμμαχίαν δώσειν, πέμψειν δὲ
τοὺς Διὸς κούρους αὐτοῖς βοηθοὺς ὑπέσχοντο. Μάχης οὖν γενομέ-
νης ἐνίκησαν οἱ Λοκροὶ τῶν Διὸς κούρων συλλαβομένων. Μηδενὸς
δὲ ἀπαγγείλαντος τὴν νίκην εἰς Λακεδαίμονα ἡ φήμη ταύτην τῇ G

141.
142. Zen. II. 10.
143. Zen. II. 11.
144. Zen. II. 12.
145. Zen. II. 13.
146.
147. Zen. II. 14.
148. Zen. II. 17.

ἐν ᾗ γέγονεν ἡμέρᾳ διήγγειλεν. Εἴρηται γοῦν ἡ παροιμία ἐπὶ τῶν A
πάνυ ἀληθῶν. Σάγρα δέ ἐστι τόπος ἐν ᾧ τὰ τῆς νίκης γέγονεν.

149 ΑἾΞ ΣΚΥΡΊΑ: Ταύτην εἰρῆσθαι Χρύσιππός φησιν ἐπὶ τῶν τὰς
εὐεργεσίας ἀνατρεπόντων, ἐπειδὴ καὶ ἡ αἲξ πολλάκις ἀνατρέπει
ἀγγεῖα. Ἄλλοι δέ φασιν ἐπὶ τῶν ὀνησιφόρων λέγεσθαι διὰ τὸ
τὰς Σκυρίας αἶγας πολὺ γάλα φέρειν. B

150 ΑΥ̓ΤΌΜΑΤΟΙ Δ' ἈΓΑΘΟῚ ἈΓΑΘΩ͂Ν ἘΠῚ ΔΑΙ͂ΤΑΣ ἼΕΝΤΑΙ:

151 ἉΛΩ͂Ν ΔῈ ΦΌΡΤΟΣ ἜΝΘΕΝ ἮΛΘΕΝ ἜΝΘ' ἜΒΗ: Ἐμπόρων τινῶν
καθευδησάντων εἰς τὴν ναῦν θάλασσα εἰσελθοῦσα τοὺς ἅλας
ἔτηξεν. Ἔνθεν ἡ παροιμία.

152 Ἁ ΦΙΛΟΧΡΗΜΑΤΊΑ ΣΠΆΡΤΑΝ ἝΛΟΙ, ἌΛΛΟ ΔῈ ΟΥ̓ΔΈΝ: Αὕτη C
λέγεται ἐπὶ τῶν ἐξ ἅπαντος κερδαίνειν προαιρουμένων. Γέγονε δὲ
ἀπὸ χρησμοῦ δοθέντος Λακεδαιμονίοις, λέγοντος, ἀπολέσθαι Λακε-
δαιμονίους ὅταν ἀργύριον καὶ χρυσίον τιμήσωσιν.

153 ἈΘΗΝΑ͂ ΤῸΝ ΑἼΛΟΥΡΟΝ: Ἐπὶ τῶν κακῶς συγκρινόντων καὶ διὰ
μικρὰν ὁμοιότητα. Ὡς εἴ τις διὰ γλαυκότητα τοῦ αἰλούρου τοῦτον D
τῇ Ἀθηνᾷ παραβάλοι.

154 ἈΤΤΙΚΟῚ ΤᾺ ἘΛΕΥΣΊΝΙΑ: Λείπει τὸ καθ' ἑαυτῶν. Λέγεται δὲ
ἐπὶ τῶν καθ' ἑαυ . . . τι πραττόντων.

155 ΑΥ̓ΤΩ͂Ι ΚΑΝΩ͂Ι: Κατὰ τῶν ἄρδην ὁτιοῦν λυμαινομένων· ἐπὶ
γὰρ κανῶν τὰ δεῖπνα ἐκομίζετο. Πλάτων· E
Ἀνηρπάκασ' ἄναξ ἅπαντ' αὐτῷ κανῷ.

156 ἈΦΎΑΣ ΠΥ͂Ρ: Ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων· παρ' ὅσον καὶ
ἡ ἀφύα τάχιστα ἕψεται.

157 ἈΤΡΈΩΣ ὌΜΜΑΤΑ: Οἱονεὶ ἄτρεπτα καὶ σκληρά· ἀπὸ τῆς
Ἀτρέως παρανομίας, ὃς ὑπονοήσας τὸν ἀδελφὸν Θυέστην μοιχεύειν F
Ἀερόπην τὴν γυναῖκα αὐτοῦ, τὰ τέκνα τοῦ Θυέστου συγκόψας
παρέθηκεν αὐτῷ δειπνοῦντι, τελευταῖα τὰ ἄκρα παραθείς, ὥστε
αἴσθησιν αὐτῷ δοῦναι τοῦ μύσους.

158 ἌΝΝΑΣ ΚΡΊΒΑΝΟΣ: Ἄνναν Αἰγυπτίαν φασὶν ἐπινενοηκέναι τὸν
κρίβανον εἰς τὴν τῶν ἄρτων ὄπτησιν. Ἀφ' ἧς ἡ παροιμία. G

149. Zen. II. 18.
150. Zen. II. 19.
151. Zen. II. 20.
152. Zen. II. 24.
153. Zen. II. 25.
154. Zen. II. 26.
155. Zen. II. 31.
156. Zen. II. 32.
157. Zen. II. 34.
158. v. Suid. v. Ἄννος.

159 ἈΕΤῸΝ ΚΆΝΘΑΡΟΣ ΜΑΙΕΎΕΤΑΙ: Τὰ ᾠὰ τοῦ ἀετοῦ ἀφανίζουσιν A
οἱ κάνθαροι, ἐπεὶ οἱ ἀετοὶ τοὺς κανθάρους ἀναλέγουσιν.

160 ΑἸΆΝΤΕΙΟΣ ΓΈΛΩΣ: Ἐπὶ τῶν παραφρόνως γελώντων.

161 ἈΠῸ ὌΝΟΥ ΚΑΤΑΠΕΣΏΝ: Οἱ δὲ ἈΠῸ ΝΟΥ͂ φασι. Ἀπὸ τοῦ ζώου συντέτακται ἐπὶ τῶν μειζόνων καὶ ἀδυνάτων· ὡς Ἀριστοφάνης,

Ἀπὸ τύμβου πεσών. B

162 ἈΓΌΜΕΝΟΣ ΔΙᾺ ΦΡΑΤΈΡΩΝ ΚΎΩΝ: Ἐπὶ τῶν ὅπου μὴ δεῖ εὑρισκομένων καὶ διὰ τοῦτο τιμωρουμένων. Καὶ κύων γὰρ εὑρισκόμενος ἐν φράτερσι μαστιγοῦται.

ἈΓΆΛΜΑΤΑ ἙΚΆΤΗΣ:

163 ἉΓΝῊ ΓΆΜΩΝ: Ἐπὶ τῶν σωφρόνων γυναικῶν. Ῥηθείη δ' ἂν C
εἰρωνικῶς καὶ ἐπὶ τῶν μὴ τοιούτων.

164 ἈΓΡῸΣ Ἡ ΠΌΛΙΣ: Ἐπὶ τῶν παρανομούντων. Ἐπίχαρμος·

Ἀγρὸν τὴν πόλιν ποιεῖς.

165 ἈΗΔΌΝΕΣ ΛΈΣΧΑΙΣ ἘΓΚΑΘΉΜΕΝΑΙ: Ἐπὶ τῶν ἀδολεσχούντων.

166 ἌΘΩΣ ΚΑΛΎΠΤΕΙ [c] ΠΛΕΥΡᾺ ΛΗΜΝΊΑΣ ΒΟΌΣ: Ἐπὶ τῶν τινας D
λυπούντων ἢ βλαπτόντων· ἐπειδὴ τὴν ἐν Λήμνῳ βοῦν λευκοῦ πεποιημένην λίθου ὁ Ἄθως τὸ ὄρος ἐπισκιάζει.

167 ἈΓΟΡᾺ ΛΎΚΕΙΟΣ: Ἐπὶ τῶν τάχεως πιπρασκομένων.

168 ἈΕῚ ΛΕΟΝΤΙ͂ΝΟΙ ΠΕΡῚ ΤΟῪΣ ΚΡΑΤΗ͂ΡΑΣ: Οἱ ἐν Σικελίᾳ Λεοντῖνοι περὶ πότους ἐσπουδάκεσαν· Φάλαρις δ' αὐτοὺς καταπολε- E
μήσας ἐκέλευσεν ὠμῶς εἰς τοὺς τῆς Αἴτνης ἀπορριφῆναι κρατῆρας. Ἀφ' οὗ καὶ ἡ παροιμία.

169 ΑἹ ΟἸΔΊΠΟΔΟΣ ἈΡΑΊ: Ἐπὶ τῶν μεγάλως δυστυχούντων. Οἱ γὰρ περὶ Πολυνείκην ἔθος εἶχον τῷ Οἰδίποδι ἐξ ἑκάστου ἱερείου ἐξαίρετόν τι πέμπειν γέρας, τὸν ὦμον· ἐκλαθόμενοι δέ ποτε, ἰσχίον F
ἔπεμψαν. Καὶ ὁ Οἰδίπους νομίσας ἠτιμῶσθαι ἀρὰς κατ' αὐτῶν ἔθετο τὰ πατρῷα σιδήρῳ δάσασθαι, ὑφ' ὧν καὶ ἀπώλοντο.

170 ΑἹ ΛΑΧΆΝΩΝ ΠΡΟΣΘΗ͂ΚΑΙ: Ἐπὶ τῶν μηδὲν ὠφελούντων.

159. Zen. I. 20.
160. Zen. I. 43.
161. Zen. II. 57.
162. Diog. II. 45.
163. Diog. II. 46.
164. Diog. II. 47.
165. Diog. II. 48.
166. Suid.

c πλευρὰν B. Vid. Schol. Ven. Il. ξ' 229.
167. Diog. II. 49.
168. Diog. II. 50.
169. Diog. II. 51. Vid. Schol. Sophocl. Œd. Col. 1375.
170. Diog. II. 52.

171 ΑἸΣΧΎΝΟΜΑΙ ΜᾺ ΤῊΝ ΦΙΛΌΤΗΤΑ : A

172 ΑἸΔῺΣ ἘΝ ὈΦΘΑΛΜΟῖΣ : Ἢ ὅτι οἱ τοὺς ὀφθαλμοὺς κεκομμένοι οὐκ αἰδοῦνται, ἢ ὅτι τοὺς παρόντας αἰδοῦνται μᾶλλον οἱ ἄνθρωποι ἢ τοὺς ἀπόντας.

173 ΑἸΔῺΣ Δ' ΟὐΚ ἈΓΑΘῊ ΚΕΧΡΗΜΈΝῼ ἈΝΔΡῚ ΠΡΟΐΚΤῌ : Ἐπὶ τῶν δι' ἐπιείκειαν βλαπτομένων. B

174 [d] ἈΓΝΟΕῖ Δ' ἈΡΆΧΝΗ ΠΑῖΔΑ ἝΩΣ ΠΑΙΔΕΎΕΙ, ΘΡΈΨΑΣΑ ΓᾺΡ ΤΈΘΝΗΚΕΝ : Ἐπὶ τῶν καθ' ἑαυτῶν τι διαπραγματευομένων.

175 ἈΕῚ ΤᾺ ΠΈΡΥΣΙ ΒΕΛΤΊΩ : Κατὰ τὰ Μακεδονικὰ ταπεινουμένων τῶν Ἀθήνησι πραγμάτων ἐν τοῖς Διονυσίοις ἐπεφώνουν τὸ προκείμενον οἱ Ἀθηναῖοι, δηλοῦντες τὴν προλαβοῦσαν εὐδαιμονίαν. C

176 ΑἸΓΎΠΤΟΥ ΓΆΜΟΣ : Ἐπὶ τῶν ἀλυσιτελῶς γαμούντων.

177 [ΑἸΓῚΣ] ΠΕΡῚ ΠΌΛΙΝ : Αἰγὶς λέγεται τὸ ἐκ τῶν στεμμάτων δίκτυον· [ἢ γοῦν] ἱέρεια τὴν ἱερὰν αἰγίδα Ἀθήνησι φέρουσα ἀγείρει [ἀπὸ τῆς ἀκροπόλεως] ἀρξαμένη πρὸς τὰ ἱερά. τάττεται D ἡ παροιμία ἐπὶ τῶν ἀναιδὴν περιιόντων.

178 ΑἸΓῶΝ ὈΝΌΜΑΤΑ : Οἷον ἄχρηστα πράγματα· ὅμοιαι γὰρ αἱ αἶγες.

179 [e] ἌΛΕΥ' ἈΠῸ ΜΕΊΖΟΝΟΣ ἈΝΔΡΌΣ : Ἤτοι φύλαξαι. Παραινεῖ ἡ παροιμία περιίστασθαι τῆς μετὰ τῶν μειζόνων ἀναστροφῆς. E

171. Diog. II. 53.
172. Suid. ubi *κεκακωμένοι.*
173. Suid.
174. Vat. I. 9.

[d] Ἀγνοεῖ] Natum videtur proverbium ex his apud Suidam senariis : *Ἀγνοεῖ δ' ἀράχνη παῖδας ὡς παιδεύεται, Θρέψασα γὰρ τέθνηκε πρὸς τῶν φιλτάτων.* Innuere videtur, tum demum araneam agnoscere se parentem, cum prolem educat, a qua exenteretur. Non dissimile illud B. Augustini tractatu XV. in Joannem, de gallina: *Videtis,* inquit, *quemadmodum gallina infirmetur cum pullis suis? nulla enim alia avis, quod sit mater agnoscitur,* &c. SCHOTT. De prima syllaba v. Ἀγνοεῖ vid. Meineke præf. Menand. p. XXIV.

175. Diog. II. 54.
176. Diog. II. 55.
177. Vid. Suid. pp. 1086. 1087. ibique notata. Verba uncinis inclusa ex A addita sunt.
178.
179. Vat. I. 6.

[e] Ἄλευ'] Tale illud Q. Horatii νόημα ad Lollium Epist. XVIII. v. 86. *Dulcis inexpertis cultura potentis amici, Expertus metuit.* Quia tædii res plena ac fastidii, nec periculis vacans : quo de singulari commentario disseruisse memini Joan. Casam, episc. Beneventanum. SCHOTT.

180 ἌΛΛΑ ΜΑΡΤΥΡΕΙ͂ ΤΡΊΑ ΚΑῚ ἌΛΛΑ ΛΉΨΕΙ ΤΡΊΑ: Ἐπὶ τῶν παν- A
οτιοῦν ποιούντων κέρδους ἕνεκα.

181 ἌΛΛΟ ΓΈΝΟΣ ΚΏΠΗΣ: Ἡρακλέα ἱστοροῦσι περαιούμενον ἐν λέβητι ἐπὶ τὰς ἐν Ἐρυθίᾳ βοῦς χρῆσθαι ἱστίῳ μὲν τῇ λεοντῇ, ἱστῷ δὲ τῷ ῥοπάλῳ, κώπῃ δὲ τῷ τόξῳ, διὸ καὶ ἐλέχθη ἡ παροιμία.

182 ἌΛΛΗ ΤΟΡΈΛΛΗ: Τοὺς γεγηρακότας ἔσκωπτον οἱ περὶ τὴν B
σορὸν σορέλλη καὶ τορέλλη. Ἔστι δὲ κυρίως σορέλλη καὶ τορέλλη ἐπιφώνημα θρηνητικὸν σὺν αὐλῷ.

183 ἈΛΛΌΤΡΙΑ ΒΆΛΛΕΙΝ: Τοῦτο λέγεται ἐπάν τις ἐν τῷ κυβεύειν ἁμάρτῃ.

184 ἌΚΟΥΕ ΤἈΠῸ ΚΑΡΔΊΑΣ: Ἐπὶ τῶν ἃ φρονοῦσι διεξιόντων. C

185 ἌΚΟΥΕ ΔῊ ΚΑΚΟΥ͂ ΛΌΓΟΥ: Ἐπὶ τῶν τοὺς μύθους διηγουμένων.

186 ἈΚΌΛΛΗΤΑ ΧΕΊΛΗ ΟΥ̓ ΣὝΚΩΙ ΒΥ̓́ΣΕΙΣ: Παρεγγυᾷ ὁ λόγος τοῖς πράγμασιν ἐρρωμένως χρῆσθαι.

187 ἈΛΛᾺ ΓᾺΡ ἈΘΥΜΟΥ͂ΝΤΕΣ ἌΝΔΡΕΣ ΟὔΠΩ ΤΡΌΠΑΙΟΝ ἜΣΤΗΣΑΝ: Ἐπὶ τῶν δι' ἀθυμίαν μηδὲν πραττόντων γενναῖον. D

188 ἌΛΛΩΣ ἈΝΑΛΊΣΚΕΙΣ ὝΔΩΡ: Ἐπὶ τῶν ματαιολογούντων. Μετενήνεκται δὲ ἀπὸ τοῦ ἐν δικαστηρίῳ ὕδατος.

189 ἈΛΛ' ΕἸ ΛΎΚΟΣ ΚΑΛΕΙ͂ ΤᾺΣ ΑἾΓΑΣ ΜΟΛΩ͂Ν: Ἐπὶ τῶν ἐν ὑποκρίσει ἐξαπατᾶν πειρωμένων.

190 ἌΛΛΟΣ ΠΟΥ ΧΏΡΑΣ ΤΡΌΠΟΣ: Ὅτι δεῖ τὰ ἑκάστης χώρας ἔθη E
μιμεῖσθαι τὸν ἐν ἑκάστῃ διατρίβοντα.

191 ἍΛΙΣ ΔῈ ἈΡΤΌΧΩΝ: Ἐπὶ τῶν πολλάκις ἀρχομένων λόγων καὶ οὐ [f] περαινόντων.

192 ἍΛΜΗ ἸΧΘΎΩΝ, ΚΡΕΩ͂Ν ΔῈ ΖΩΜΌΣ:

193 ἈΚΑΡΠΌΤΕΡΟΣ ἈΓΡΊΠΠΟΥ: Ἐπὶ τῶν μάτην πενομένων. Λά- F

180.
181. Diog. II. 57.
182. Diog. II. 58.
183. Diog. II. 60.
184. Diog. II. 59.
185. Respicit f. Platon. Gorg. p. 523 A. ubi καλοῦ.
186. Suid. p. 150 B. ubi Ἀκόλφ τὰ . .
187. Vid. Suidam p. 169 A.
188. Vat. I. 8.
189.
190. Vid. Suid. p. 183 D.
191. Vat. I. 7. ubi Ἅλις δρυός.
f παραινούντων vitiose scriptum mutavi in περαινομένων. itaque converti. SCHOTT. περαινόντων A. B.
192.
193. Zen. I. 60.

κωνες γὰρ τὴν ἀγρίαν ἐλαίαν ἀγρίππαν καλοῦσιν, λεπτόφυλλον A
καὶ πλεῖον αὐξανομένην πηγάνου.

194 ἌΡΤΙ ΜΥ͂Σ ΠΊΤΤΗΣ ΓΕΎΕΤΑΙ: Μῦς ὄνομά ἐστιν, ὥς φασι, Ταραντίνου πύκτου, ὃς ἐνίκησεν ἐν Πίσσῃ πολλὰς πληγὰς λαβὼν κατὰ τὴν ῥιᾶ Ὀλυμπιάδα. Διηγούμενος δέ τις περὶ αὐτοῦ ἔλεγεν ὅσα ἔπαθεν ὁ Μῦς ἐν τῇ Πίσσῃ. Οἱ δέ φασι τὸ ζῶον ἐμπεσὸν εἰς B
πίσσαν δεινὰ πάσχειν, καὶ τέλος ἀποθνήσκειν ἀνελθεῖν οὐ δυνάμενον.

195 ἈΚΡΟΚΟΡΙΝΘΊΑ ἔΟΙΚΑΣ ΧΟΙΡΟΠΩΛΉΣΕΙΝ: Ἐπὶ τῶν παρ' ὥραν λέγεται θρυπτομένων γυναικῶν. Οἱονεὶ ἔοικας μισθαρνήσειν ἐν Κορίνθῳ διὰ τὸ πλείστας ἑταίρας εἶναι ἐν αὐτῇ. Λέγεται δὲ χοῖρος C
τὸ γυναικεῖον αἰδοῖον.

196 ἌΣΚΩΙ ΜΟΡΜΟΛΎΤΤΕΣΘΑΙ: Ἐπὶ τῶν εἰκῇ φοβούντων.

197 ἌΣΤΡΟΙΣ ΣΗΜΑΊΝΕΣΘΑΙ: Ἐπὶ τῶν ἐκ μακροῦ τι ὑπονοούντων. Εἴρηται δὲ ἀπὸ τῶν πλοϊζομένων.

198 ἌΤΛΑΣ ΤῸΝ ΟΥ̓ΡΑΝΌΝ: Εὐήμερος ἐν ἱερῷ λόγῳ προσέθηκε τὸ D
ὑπεδέξω. Λέγεται δὲ ἐπὶ τῶν τινὶ κακῷ περιπεσόντων ἐπιβαλλομένων μεγάλῳ πράγματι.

199 ἉΡΜΟΔΊΟΥ ΜΈΛΟΣ, ἈΔΜΉΤΟΥ ΜΈΛΟΣ: Ἐπὶ τῶν σκολιῶν· τοιαῦτα γὰρ ἐστὶ τὰ εἰς Ἁρμόδιον καὶ Ἄδμητον μέλη σκολιά. Τινὲς δὲ κατ' ἀντίφρασιν εἰρῆσθαι λέγουσιν ὅτι ῥᾴδια καὶ ὀλι- E
γόστιχα ὡς ἐπιγράμματα. Διὸ καὶ ἐπὶ τῶν ῥᾳδίων εἰρῆσθαι λέγουσιν.

200 ἈΡΚΑΔΊΗΝ Μ' ΑἸΤΕΙ͂Σ: Ἐπὶ τῶν μέγαλα ἀξιούντων λαβεῖν. γρ. δὲ

Ἀρκαδίην μ' αἰτεῖς, μέγα αἰτεῖς, οὔτι δώσω. F

201 ἌΡΚΤΟΥ ΠΑΡΟΎΣΗΣ ΤᾺ ἼΧΝΗ ΖΗΤΕΙ͂Σ: Ἐπὶ τῶν δήλων ἡ παροιμία. Εἴρηται δὲ ἀπὸ τῶν κυνηγῶν.

202 ἈΡΟΤΡΑΊΑ ΜΆΝΤΙΣ: Ἀκρίς ἐστι δυσκίνητος. Ταύτης ταῖς κινήσεσιν οἱ ἀγροῖκοι μαντεύονται. Τίθεται τοίνυν ἐπὶ τῶν νωθρῶν

194. Diog. II. 64.
195. Suid. p. 3941 C. Ἀκορινθία A. B.
196. Diog. II. 65.
197. Diog. II. 66.
198. Diog. II. 67.
199. Diog. II. 68.
200. Diog. II. 69.
201. Zen. II. 36.
202. v. Suid. p. 581 B.

180 ἌΛΛΑ ΜΑΡΤΥΡΕΙ͂ ΤΡΊΑ ΚΑῚ ἌΛΛΑ ΛΉΨΕΙ ΤΡΊΑ: Ἐπὶ τῶν παν- A
οτιοῦν ποιούντων κέρδους ἕνεκα.

181 ἌΛΛΟ ΓΈΝΟΣ ΚΏΠΗΣ: Ἡρακλέα ἱστοροῦσι περαιούμενον ἐν λέβητι ἐπὶ τὰς ἐν Ἐρυθίᾳ βοῦς χρῆσθαι ἱστίῳ μὲν τῇ λεοντῇ, ἱστῷ δὲ τῷ ῥοπάλῳ, κώπῃ δὲ τῷ τόξῳ, διὸ καὶ ἐλέχθη ἡ παροιμία.

182 ἌΛΛΗ ΤΟΡΈΛΛΗ: Τοὺς γεγηρακότας ἔσκωπτον οἱ περὶ τὴν B
σορὸν σορέλλη καὶ τορέλλη. Ἔστι δὲ κυρίως σορέλλη καὶ τορέλλη ἐπιφώνημα θρηνητικὸν σὺν αὐλῷ.

183 ἈΛΛΌΤΡΙΑ ΒΆΛΛΕΙΝ: Τοῦτο λέγεται ἐπάν τις ἐν τῷ κυβεύειν ἁμάρτῃ.

184 ἌΚΟΥΕ ΤἈΠῸ ΚΑΡΔΊΑΣ: Ἐπὶ τῶν ἃ φρονοῦσι διεξιόντων. C

185 ἌΚΟΥΕ ΔῊ ΚΑΚΟΥ͂ ΛΌΓΟΥ: Ἐπὶ τῶν τοὺς μύθους διηγουμένων.

186 ἈΚΌΛΛΗΤΑ ΧΕΊΛΗ ΟὐΣΎΚΩΙ ΒΎΣΕΙΣ: Παρεγγυᾷ ὁ λόγος τοῖς πράγμασιν ἐρρωμένως χρῆσθαι.

187 ἈΛΛᾺ ΓᾺΡ ἈΘΥΜΟΥ͂ΝΤΕΣ ἌΝΔΡΕΣ ΟὔΠΩ ΤΡΌΠΑΙΟΝ ἜΣΤΗΣΑΝ:
Ἐπὶ τῶν δι' ἀθυμίαν μηδὲν πραττόντων γενναῖον. D

188 ἌΛΛΩΣ ἈΝΑΛΊΣΚΕΙΣ ὝΔΩΡ: Ἐπὶ τῶν ματαιολογούντων. Μετενήνεκται δὲ ἀπὸ τοῦ ἐν δικαστηρίῳ ὕδατος.

189 ἈΛΛ' ΕἸ ΛΎΚΟΣ ΚΑΛΕΙ͂ ΤᾺΣ ΑἾΓΑΣ ΜΟΛΏΝ: Ἐπὶ τῶν ἐν ὑποκρίσει ἐξαπατᾶν πειρωμένων.

190 ἌΛΛΟΣ ΠΟΥ ΧΏΡΑΣ ΤΡΌΠΟΣ: Ὅτι δεῖ τὰ ἑκάστης χώρας ἔθη E
μιμεῖσθαι τὸν ἐν ἑκάστῃ διατρίβοντα.

191 ἌΛΙΣ ΔῈ ΔΡΥΌΧΩΝ: Ἐπὶ τῶν πολλάκις ἀρχομένων λόγων καὶ οὐ [f] περαινόντων.

192 ἌΛΜΗ ἸΧΘΎΩΝ, ΚΡΕΩ͂Ν ΔῈ ΖΩΜΌΣ:

193 ἈΚΑΡΠΌΤΕΡΟΣ ἈΓΡΊΠΠΟΥ: Ἐπὶ τῶν μάτην πονομένων. Λά- F

180.
181. Diog. II. 57.
182. Diog. II. 58.
183. Diog. II. 60.
184. Diog. II. 59.
185. Respicit f. Platon. Gorg. p. 523 A. ubi καλοῦ.
186. Suid. p. 150 B. ubi Ἀκόλφ τὰ . .
187. Vid. Suidam p. 169 A.
188. Vat. I. 8.
189.
190. Vid. Suid. p. 183 D.
191. Vat. I. 7. ubi Ἄλις δρυός.
[f] παραινούντων vitiose scriptum mutavi in περαινομένων. itaque converti. SCHOTT. περαινόντων A. B.
192.
193. Zen. I. 60.

κωνες γὰρ τὴν ἀγρίαν ἐλαίαν ἀγρίππαν καλοῦσιν, λεπτόφυλλον A καὶ πλεῖον αὐξανομένην πηγάνου.

194 Ἄρτι μῦς πίττης γεύεται: Μῦς ὄνομά ἐστιν, ὥς φασι, Ταραντίνου πύκτου, ὃς ἐνίκησεν ἐν Πίσσῃ πολλὰς πληγὰς λαβὼν κατὰ τὴν ρια' Ὀλυμπιάδα. Διηγούμενος δέ τις περὶ αὐτοῦ ἔλεγεν ὅσα ἔπαθεν ὁ Μῦς ἐν τῇ Πίσσῃ. Οἱ δέ φασι τὸ ζῶον ἐμπεσὸν εἰς B πίσσαν δεινὰ πάσχειν, καὶ τέλος ἀποθνήσκειν ἀνελθεῖν οὐ δυνάμενον.

195 Ἀκροκορινθία ἔοικας χοιροπωλήσειν: Ἐπὶ τῶν παρ' ὥραν λέγεται θρυπτομένων γυναικῶν. Οἱονεὶ ἔοικας μισθαρνήσειν ἐν Κορίνθῳ διὰ τὸ πλείστας ἑταίρας εἶναι ἐν αὐτῇ. Λέγεται δὲ χοῖρος C τὸ γυναικεῖον αἰδοῖον.

196 Ἀσκῷ μορμολύττεσθαι: Ἐπὶ τῶν εἰκῇ φοβούντων.

197 Ἄστροις σημαίνεσθαι: Ἐπὶ τῶν ἐκ μακροῦ τι ὑπονοούντων. Εἴρηται δὲ ἀπὸ τῶν πλοϊζομένων.

198 Ἄτλας τὸν οὐρανόν: Εὐήμερος ἐν ἱερῷ λόγῳ προσέθηκε τὸ D ὑπεδέξω. Λέγεται δὲ ἐπὶ τῶν τινὶ κακῷ περιπεσόντων ἐπιβαλλομένων μεγάλῳ πράγματι.

199 Ἁρμοδίου μέλος, Ἀδμήτου μέλος: Ἐπὶ τῶν σκολιῶν· τοιαῦτα γάρ ἐστι τὰ εἰς Ἁρμόδιον καὶ Ἄδμητον μέλη σκολιά. Τινὲς δὲ κατ' ἀντίφρασιν εἰρῆσθαι λέγουσιν ὅτι ῥᾴδια καὶ ὀλι- E γόστιχα ὡς ἐπιγράμματα. Διὸ καὶ ἐπὶ τῶν ῥᾳδίων εἰρῆσθαι λέγουσιν.

200 Ἀρκαδίην μ' αἰτεῖς: Ἐπὶ τῶν μέγαλα ἀξιούντων λαβεῖν. γρ. δὲ

Ἀρκαδίην μ' αἰτεῖς, μέγα αἰτεῖς, οὔτι δώσω. F

201 Ἄρκτου παρούσης τὰ ἴχνη ζητεῖς: Ἐπὶ τῶν δήλων ἡ παροιμία. Εἴρηται δὲ ἀπὸ τῶν κυνηγῶν.

202 Ἀρουραία μάντις: Ἀκρίς ἐστι δυσκίνητος. Ταύτης ταῖς κινήσεσιν οἱ ἀγροῖκοι μαντεύονται. Τίθεται τοίνυν ἐπὶ τῶν νωθρῶν

194. Diog. II. 64.
195. Suid. p. 3941 C. Ἀκορινθία A. B.
196. Diog. II. 65.
197. Diog. II. 66.
198. Diog. II. 67.
199. Diog. II. 68.
200. Diog. II. 69.
201. Zen. II. 36.
202. v. Suid. p. 581 B.

καὶ δυσκινήτων. Οἱ δὲ ἐπὶ τῶν εἰκῇ ταῖς μαντείαις φλυαρούν- A
των.

203 Ἀρχαιότερος [l]Ἰβύκου: [l]Ἐπὶ τῶν εὐηθῶν. Ἴβυκος γὰρ τυ-
ραννεῖν πολιτῶν δυνάμενος ἀπεδήμησεν εἰς [l]Ἰωνίαν.

204 Ἀπὸ τῆς κώπης ἐπὶ τὸ βῆμα: [l]Ἐπὶ τῶν ἀθρόως τοῖς μεγί-
στοις ἐγχειρούντων. B

205 Ἀνέμου πεδίον: [l]Ἐπὶ τῶν εὐμεταβόλων καὶ κούφων.

206 Αἰδὼς ἐν ὀφθαλμοῖς ἔστω: Τὰ ἐν ὀφθαλμοῖς καὶ ἐν τῷ
φανερῷ γινόμενα μᾶλλον αἰσχύνονται.

207 [g]Ἄκρον λάβε καὶ μέσον ἕξεις: Ἀπελλαῖοι περισωθέντες
ἀπὸ τοῦ περὶ Κλεισθένην πολέμου ἐπυνθάνοντο τοῦ θεοῦ πότερον C
τὴν προτέραν αὐτῶν ἀνοικήσειαν πόλιν, ἢ ἑτέραν ποιήσουσιν. Ἀπε-
κρίνατο δὲ ἡ Πυθία,

Πείθου ἐμοῖσι λόγοισιν· ἄκρον λάβε, καὶ μέσον ἕξεις.

καὶ ἄκραν ἔχουσαν τὴν πόλιν ᾤκησαν καταλαβόμενοι. Ἡ ἱστορία
παρὰ [h]Ἀλεξάνδρῳ ἐν πρώτῃ περὶ τῶν συληθέντων ἐν Δελφοῖς D
ἀναθημάτων.

208 [i]Βάκηλος εἶ: [l]Ἐπὶ τῶν ἐκλύτων καὶ ἀνάνδρων. Κυρίως δὲ
βάκηλος ὁ [k]ἀπόκοπος.

209 Βάκχυρις: [l]Ἐπὶ τῶν δικαιότατα κρινόντων. Αἰγύπτιος γὰρ
οὗτος ὢν ἐπὶ δικαιοσύνῃ καὶ ἐπινοίᾳ κρίσεως μνημονεύεται. E

210 [l]Βυζίνη παρρησία: [l]Ἐπὶ τῶν σφόδρα πεπαρρησιασμένων.

203. Diog. II. 71.
204. Syrian. in Hermog. p. 16.
205. Diog. I. 82.
206.
207. Vat. I. 5.

[g] Ἄκρον λάβε] Locus est mutilus, expleri potest Zenobii I. 57. et Apostolii verbis, apud quos eadem est parœmia, adduntque dici ἐπὶ τῶν δυσνοήτων καὶ δυσφράστων. Fragmentum et hîc e vetere historia, ut sæpe in Suida. Anaxandridæ Comœdiæ XXII advocantur ab Athenæo, et Stobæo: historia non item: ut de mendo suspicari liceat, reponendumque affinem Anaximandrum, qui Milesius Ionica dialecto historica scripsit, teste Suida, et heroelegiam ejus citat idem Dipnosophista. SCHOTT.

[h] Ἀλεξάνδρῳ] Sic A. non Ἀναξανδρίδῃ, ut ex Vat. edidit Schottus, et ut exhibet B. Alexandri ἐν πρώτῳ περὶ τοῦ ἐν Δελφοῖς χρηστηρίου meminit Steph. Byz. v. Παρνασός. Vid. Hemsterhus. ad Aristoph. Plut. p. 324. Clinton. Fast. Hellen. T. III. p. 539.

208. Zen. II. 62.

[i] Βάκυλος B.

[k] ἀπρόκοπος A.

209. Vat. I. 13.
210. Zen. II. 63.

[l] Βυζήνη B. Βυζήνου A. hic et infra.

Ἀπὸ Βυζίνου τοῦ Ποσειδῶνος ἀεὶ μετὰ παρρησίας διαλεγομέ- A
νου.

211 Βίος ἐξηντλημένος: *Ἐπὶ τῶν ἀχρήστων. Ἐκ μεταφορᾶς τῶν ἀχρείων αὐλῶν.*

212. 213 Βοιώτιον οὖς *καὶ* βοιωτία ὗς: *Ἐπὶ τῶν ἀναισθήτων καὶ ἀπαιδεύτων. Ἐς τοῦτο γὰρ ἐσκώπτοντο οἱ Θηβαῖοι.* B

214 Βοιώτιος νόμος: *Ἡ παροιμία κατὰ τῶν ἀνοήτως διακειμένων.*

215 Βέμβικος δίκην: *Ῥόμβου τρόπον. Ἀπὸ τοῦ τὸν φεύγοντα μὴ ἐπ' εὐθείας τὴν φυγὴν ποιεῖσθαι, ἀλλ' εἱλεῖσθαι.*

216 Βοῦθος περιφοιτᾷ: *Ἐπὶ τῶν εὐήθων καὶ παχυφρόνων· ἀπό τινος Πυθιονίκου Βούθου μετενεχθεῖσα.* C

217 Βούνας δικάζει: *Ἐπὶ τῶν τὰς κρίσεις ἀναβαλλομένων. Βούνας γὰρ Ἀθηναῖος ἐπιτραπεὶς τὴν δίκην Ἠλείων καὶ Καλυδωνίων, ἐπεὶ ἤκουσε μένειν αὐτοὺς ἕως ἂν ἀποφήναιτο, ἀνεβάλλετο μέχρι τελευτῆς τὴν ἀπόφασιν.*

218 Βόσκουσι τοὺς κάμνοντας: *Ἐπὶ τῶν εἰς ἀλλοτρίας βλεπόν-* D
των τρυφάς. Παρὰ τὸ

Αἱ δ' ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτῶν.

219 Βοιώτια αἰνίγματα: *Ἐπὶ τῶν ἀσυνέτων· ἐκ μεταφορᾶς τῆς Βοιωτίας Σφιγγός.*

220 Βοῦς ἐφ' ἑαυτῷ κονιεῖται: *Ἐπὶ τῶν εἰς προῦπτον κίνδυνον* E
ἑαυτοὺς ἐμβαλλόντων. Τινὲς δὲ ἐπὶ τῶν εὐχερῶς ἐπὶ κακῷ κινουμένων. Οἱ γὰρ βόες πρᾷοι ὄντες ῥᾳδίως ὑπείκουσι τοῖς δεσμοῖς.

221 Βοῦς ἐπὶ γλώσσης: *Παροιμία ἐπὶ τῶν μὴ δυναμένων παρρησιάζεσθαι, ἤτοι διὰ τὴν ἰσχὺν τοῦ ζώου, ἢ διὰ τὸ τῶν Ἀθηναίων τὸ νόμισμα βοῦν ἔχειν ἐγκεχαραγμένον, ὅπερ ἐκτίνειν τοὺς πέρα* F
τοῦ δέοντος παρρησιαζομένους.

222 Βοῦς Κύπριος εἶ: *Ἀντὶ τοῦ* [m] *σκατοφάγος. Εὔδοξος γὰρ περὶ τούτων ἱστορεῖ ὅτι κοπροφάγοι εἰσιν.*

211. Zen. II. 64.
212. Zen. II. 65.
213. Diog. III. 46.
214. Zen. II. 65.
215. Hesych.
216. Zen. II. 66.
217. Zen. II. 67.
218.
219. Zen. II. 68.
220. Zen. II. 69.
221. Zen. II. 70.
222. Vat. I. 11.

m *σκατοφάγος*] Hoc epitheton in Pluto Aristoph. [v. 706] Æ-

223 Βοῦς ἕβδομος: Ἐπὶ τῶν ἀναισθήτων ἡ παροιμία. Βοῦν μὲν A
ἀπὸ τοῦ ζώου ἠλιθίου ὄντος, ἕβδομον δὲ ἐπειδὴ ἐξ ἔθυον οἱ πένητες, πρόβατον, ὗν, αἶγα, ὄρνιν, πετεινὸν, χῆνα, καὶ ἕβδομον τὸν βοῦν.

224 [n]Βούτην Μήκων ἔγραψεν: Ἐπὶ τῶν ῥᾳδίως ἐπιτελουμένων· πίνακα γὰρ ὁ Μήκων γράψας ἐποίησέ τινα ὑπὲρ ὄρους φαινόμενον, καὶ ἐπέγραψε Βούτης, φαίνεται δὲ αὐτοῦ τὸ κράνος καὶ ὁ ὀφθαλ- B
μός.

225 Βαλὼν φευξεῖσθαι οἴει: Ἐπὶ τῶν κακόν τι πραττόντων καὶ ἐκφυγεῖν οἰομένων.

226 Βάλλε εἰς ὕδωρ: Ἐπὶ τῶν ὀλέθρου ἀξίων. Ἀντὶ τοῦ καταπόντισον. C

227 Βύβλου δὲ καρπὸς οὐ κρατεῖ σταχύν: Ἐπὶ τῶν οὐ δυναμένων τοῖς ἰδίοις χρῆσθαι καλοῖς, παρ' ὅσον ἀσθενὴς ἄνωθεν ἡ βύβλος.

228 Βῶλος ἄρουραν: Ἐπὶ τῶν τοῖς μεγίστοις τὰ μικρὰ προσφιλοτιμουμένων· ὡς εἴ τις ἐκ χαράδρας ὕδωρ τῇ θαλάσσῃ [o]προσά- D
γων χαρίζεσθαι [p]δοκεῖ.

229 Βοῦς ἐπὶ σωρῷ: Ἐπὶ τῶν ἡδυπαθούντων.

230 Βοῦς ὑπὸ ζυγόν: Ἐπὶ τῶν ἀεὶ μοχθούντων.

231 Βορβόρῳ ὕδωρ λαμπρὸν μιαίνων οὔποθ' εὑρήσεις ποτόν: Ἐπὶ τῶν τὰ κάλλιστα τοῖς αἰσχίστοις μιγνύντων. E

232 Βάλλ' εἰς ὄλεθρον, βάλλ' εἰς κόρακας: Ἐπὶ τῶν ὀλέθρου ἀξίων.

233 Βακτηρία καὶ σχῆμα καὶ τριβώνιον: Γρ. καὶ τριώβολον. Τοῦτο ἐπέσκωπτον τοὺς Ἀθηναίους δικαστὰς, ἐπεὶ τούτῳ τῷ τρόπῳ ἐδίκαζον. F

sculapio ac medicis tribuit. Infra vero in Κύπριος βοῦς, pro eodem legas κοπροφάγος, *excrementis vescens*. SCHOTT.

223. Diog. III. 50.

224. Vat. I. 12.

n Βούτην] Historiam sed ἀδήλῳ pictoris nomine Zenobius habet in Θᾶττον ἢ Βούτης: *Citius quam Butes*: ut in eam opinionem hic quoque θᾶττον desiderari facile inducerer, nisi alphabeti servare ordinem observassem. SCHOTT.

225. Zen. II. 71.

226. Zen. II. 72.

227. Zen. II. 73.

228. Zen. II. 74.

o προσείων A.

p δοκοίη Coisl.

229. Zen. II. 75.

230. Diog. III. 54.

231. Zen. II. 76.

232. Zen. II. 77.

233. Suid. p. 709 A.

234 Βάλλ' εἰς ἔχοντα τὴν ἐπιστήμην: Ἐπὶ τῶν λοιδορούντων A τοὺς ὁμοτέχνους.

235 Βατράχοις οἰνοχοεῖς: Πρὸς τοὺς ταῦτα παρέχοντας ὧν οὐ χρῄζουσιν οἱ λαμβάνοντες.

236 Βατράχῳ ὕδωρ, καὶ Γαλῇ στέαρ: Ἐπὶ τῶν διδόντων ταῦτα οἷς χαίρουσιν οἱ λαμβάνοντες. B

Βοῦς εἰς ἄμητον: Ἐπὶ τῶν μεγάλα ὠφελουμένων.

237 [q]Βλίτυρι καὶ σκινδαψός: Ταῦτα παραπληρώματα λόγων, εἰσὶ δὲ καὶ παροιμιώδη. Ἰόβας δὲ τὸν σκινδαψὸν ὄργανον λέγει μουσικόν· τὸ δὲ βλίτυρι χορδῆς μίμημα.

238 Βομβύλιος ἄνθρωπος: Ἐπὶ τοῦ ἀκάρπου. Παρ' ὅσον ὁ βομ- C βύλιος ἐκ [r]πηλοῦ τὰ κηρία συμπλάττει· ἔστι δὲ εἶδος μελίσσης.

239 Βοῦς ἄμητον ἐπιτηροῦντας: Ἐπὶ τῶν μετὰ ἐπιμελείας καμνόντων.

240 Βοῦς ὁ Μολοττῶν: Ἐπὶ τῶν εἰς πολλὰ διαιρουμένων πράγματα καὶ κοπτομένων. Οἱ γὰρ Μολοττοὶ ἀποκόπτοντες εἰς μικρὰ D τοὺς βοῦς τὰς συνθήκας ἐποιοῦντο.

234. Diog. III. 56.
235. Zen. II. 78.
236. Zen. II. 79.
237. Vat. I. 14.

q Βλίτυρι] De his raris et inusitatis vocibus Suidas, et sic Hesychius: Βλιτύριον, Ἰόβας τὸν σκινδαψὸν, ὄργανον ὃν μουσικὸν ἐπιδίδωσι· τὸ δὲ βλιτυρὶ χορδῆς μίμημα. Repono: Βλίτυρι· Ἰόβας σκινδαψὸν ὄργανον μουσικὸν ἐπιδίδωσι. *Jubas* σκινδαψὸν *organum esse tradit musicum,* Βλίτυρι *vero chordæ formam.* Tetrachordon itaque instrumentum, ac mulieribus potissimum in usu, cujus ex aurichalco chordæ penna feriri solitæ, qualis nobis Cithara dicta. Vide Athenæum et Eustathium, itemque Is. Casaubonum Animadv. ad Athenæum libro IV. c. 25. Alibi et absque sibilo initio scribitur: Κίνδαψος, ὄργανον κιθαριστήριον. Phavorinus Camers in Lexico Βλιτυρὶ nihil significantem esse vocem pronuntiat. At pag. 372. Basil. Βλιτυρὶ, χορδῆς μίμημα· βλίτυρι καὶ σκινδαψὸς ἄλογον. Γέγονε καὶ ἤδη παροιμιῶδες, ὡς καταριθμεῖσθαι ἐν καταλόγῳ φαρμάκων. Ἰόβας δὲ τὸν σκινδαψὸν ὄργανον μουσικὸν ἀποδίδωσι. Τὸ δὲ βλίτυρι χορδῆς μίμημα, οὐκ εὖ. Mox in Βλίτυρι præpostere Hesychium descripserat; et qui ὁ Ἰόβας, est Jubas Mauritaniæ Rex, cujus historias et Plutarchus advocat in Romulo, [p. 25 E.] et in Sulla; [p. 462 E.] et Euphorbium herbam celebrasse auctor C. Plinius lib. XXV. c. 7. et Theatricam historiam citat Athenæus: plura vero Suidas. SCHOTT.

238. Zen. II. 80.

r κηροῦ A.

239. Zen. II. 82.
240. Zen. II. 83.

241 [s]ΒΟΥΣ ἘΠΈΒΗ: Ἐπὶ τῶν ἐξαίφνης γινομένων ἀφώνων εἴρηται A ἡ παροιμία· παρ' ὅσον οἱ ἀργυρίῳ ζημιούμενοι ἠναγκάζοντο σιωπᾶν. Βοῦν γὰρ ἐνταῦθα τὸ ἀργύριον, διὰ τὸ [t]τοὺς Ἀθηναίους ἐν τῷ νομίσματι βοῦν ἐγχαράττειν. Οἱ δὲ βοῦν τὸ ζῶον ἐνταῦθα, ἐπειδὴ [u]μέγιστον τῶν βοσκημάτων.

242 ΒΆΤΑ ΚΆΡΑΣ: Ἐπὶ τῶν παχέων λέγεται τοῦτο. Τινὲς οὖν B ἐνόμισαν ἓν ὄνομα τοῦτο εἶναι, καὶ ἐχρήσαντο τῇ παροιμίᾳ ἐπὶ τῶν παχέων. Ἔστι δὲ [x]υἱὸς ὁ Κάρας τοῦ Βάτα, ὡς ἐν τῷ Ἡραίῳ τῷ Σαμίῳ ἐπιγέγραπται.

243 ΒΟΥΛΉΣΕΤΑΊ ΤΙΣ ΜᾶΛΛΟΝ Ἢ ΜΙΜΉΣΕΤΑΙ: Ὅλον κεῖται ἐν τῷ ΜΩΜΉΣΕΤΑΊ ΤΙΣ ΜᾶΛΛΟΝ Ἢ ΜΙΜΉΣΕΤΑΙ. C

244 [y]ΒΟΥΜΎΚΟΥ ΝῆΕΣ: Ἐπὶ τῶν [z]παραλογιζομένων. Φασὶ γὰρ Κυρηναίους οὔσας τὰς ναῦς προσεποιεῖτο ἰδίας ἔχειν.

245 [a]ΒΆΒΥΟΣ ΧΟΡΌΣ: Ἐπὶ τῶν ἀφυέστερον τῇ μουσικῇ χρωμένων. Μαιάνδρῳ γὰρ τῷ ποταμῷ δύο ἐγενέσθην παῖδε· ὧν ὁ [b]Μαρσύας

241. Vat. I. 15.

[s] Βοῦς] Concise id dictum apud Suidam, Βοῦς ἐπὶ γλώττης. Integre in Agamemnone [v. 36.] Æschylus extulit: Τὰ δ' ἄλλα σιγῶ· βοῦς ἐπὶ γλώττης μέγας βέβηκεν. Usurpavit Philostratus non raro in Apollonii vita: et notum Pythagoram suis auditoribus bovem imposuisse, hoc est, taciturnitatem quinque annorum, de qua ἐχεμυθίᾳ Agellius lib. I. c. 9. Nota quoque de Demosthene historia, qui argentanginam pati ferebatur, quod pecunia corruptus in judicio pisce magis factus mutus esset. Idem Agellius lib. XI. c. 9. ex Critolao. SCHOTT.

[t] τοὺς Ἀθηναίους] Deliis alios tribuere Julius Pollux lib. IX. [61] docet et Desiderius Adagio, *Bos in lingua*. SCHOTT.

[u] μέγιστον τῶν βοσκημάτων] Hinc et Græci rebus magnis bovis addunt nomen, ut in βουλιμίᾳ, de qua in Symposiacis Plutarchus [p. 694 B.] (Latinis enim *Canina fames:*) et *Bucera sæcla* T. Lucretio libro V. [864.] et *Bucera armenta* Nasoni Metamorph. lib. VI. [v. 395.] SCHOTT.

242. Vat. I. 16.

[x] ὗς A. B.

243.

244. Vat. I. 17.

[y] Βουνόμου et mox παροργιζομένων Vat. I. 17. ubi παραλογιζομένων A. B.

[z] παροργιζομένων] Malim παροριζομένων, una dumtaxat littera demta, si membranæ faverent. SCHOTT.

245. Vat. I. 18.

[a] Βάκυος B.

[b] Μαρσύας] De Marsya cum Apolline tibiis certante nota fabula ex Ovidio Metamorphos. lib. VI. et Apuleio Floridorum initio: itemque de crudeli illo supplicii genere pelle exuendi plura colligit exempla Junius ex Eunapio et Agathia, Adagio Μαρσύου θάνατος Centuria III. Adde his et B. Bartholomæi Apostoli, et Sisam-

μὲν δυσὶ καλάμοις κατὰ τὸν Φρύγιον ηὔλει νόμον, ἑνὶ δὲ μόνῳ ὁ A
Βάβυς. Ἀλλ' ὁ μὲν ἐπαρθεὶς τοῖς αὐλοῖς καὶ πρὸς ἔριν [c]ἀπονοη-
θεὶς Ἀπόλλωνος εἰσπράττεται τῆς ἀπονοίας δίκην κατὰ τὴν Φρυ-
γίαν εἰς ἀσκὸν ἀποδαρῆναι· ὁ δὲ Βάβυς ἐρρύσθη τῆς Ἀπόλλωνος
ὀργῆς, μήτε ἐπαρθεὶς καὶ ἀφυέστερον αὐλῶν. Ἔνθεν καὶ τὸ Κά-
κιον [d]Βάβυς αὐλεῖ παροιμιῶδες τάττεται ἐπὶ τῶν κατὰ τὸ B
χεῖρον ἀσκούντων.

246 [e]Βάλλειν μήλοις: Ἐπὶ τῶν τυχόντων ὧν [f]ἐρῶσι. Παρῆκται
δὲ ἀπὸ τῶν πεμφθέντων παρ' Ἱππομένους ἐπὶ Ἀταλάντην μήλων.
Προὔκειτο μὲν γὰρ ἔπαθλον τῷ νικῶντι τὴν Ἀταλάντην δρόμῳ ὁ
ταύτης γάμος. Εἰς ἅμιλλαν γοῦν ὁ Ἱππομένης καταστὰς χρυσᾶ C
μῆλα πρότερον παρὰ τῆς Ἀφροδίτης λαβὼν, καὶ ταῦτα ῥίπτων
αὐτῆς περιγέγονεν ἀσχολουμένης περὶ τὴν τῶν μήλων συλλογήν.

247 Βαλανεύς: Ἐπὶ τοῦ περιέργου καὶ πολυπράγμονος. Οὗτοι
γὰρ σχολὴν ἄγοντες πολυπραγμονοῦσιν.

248 Βάτραχος Σερίφιος: Ἐπὶ τῶν ἀφώνων. Παρ' ὅσον οἱ ἐν D
Σερίφῳ βάτραχοι οὐ φθέγγονται κομισθέντες εἰς Σκύρον.

249 [g]Βαβαὶ Μύνος: Ἐπὶ τῶν μεγαλαύχων. Οὗτος γὰρ τῆς ἐν
Ἐφέσῳ Ἀρτέμιδος ἱερεὺς γέγονεν, ἀστεῖός τε καὶ μεγάλαυχος.

250 [h]Βουζύγης: Ἐπὶ τῶν πολλὰ ἀρωμένων. Ὁ γὰρ Βουζύγης

nis, qui apud Herodotum lib. V. c. 25. et Valerium VI. c. 3. excoriatus legitur: et insidere in sella pelle instrata jussus filius Otanes a Megabyzo Persa. Nostraque memoria capta ab immani Turca Mustapha Famaugusta urbe Cypri vivus excoriatus est Bragadenus per summam perfidiam: Natalis de Comitib. lib. XXII. Histor. sui temporis. SCHOTT.

c ἀπογοηθεὶς Vat. I. 18.

d βάβυος Vat.

246. Vat. I. 19.

e Βάλλειν μήλοις] Maro in Bucolicis [III. 64.] *Malo me Galatea petit lasciva puella.* Et Aristophanes ἐν Νεφέλαις [993.] μήλῳ βληθείς. De Hippomene autem cum Atalanta cursu certante, et verba faciente, et projectis tribus Veneris pomis, Naso extremo libro X. Metamorph. SCHOTT.

f ἐροῦσι B.

247. Diog. III. 64.

248. Diog. III. 44.

249. Vat. I. 20.

g Βαβαὶ] Totidem pæne in Collectaneis verbis Suidas. SCHOT.

250. Vat. I. 21. v. Schweigh. ad Herodot. VII. 231. Infra dedi ἄροτον pro ἄροτρον.

h Βουζύγης] Hîc tenebræ loco truncato. De eodem Hesychius: e quo nos olim Ausonii Galli Epigramma supplevimus, suggessimusque per epistolam erudito viro Eliæ Vineto Santoni. Primus hic heros aratri usum Athe-

Ἀθήνῃσιν ὁ τὸν ἱερὸν ἄροτον ἐπιτελῶν ἄλλα τε πολλὰ ἀρᾶται, A
καὶ τοῖς μὴ κοινωνοῦσι κατὰ τὸν βίον ὕδατος ἢ πυρὸς, ἢ μὴ ὑποφαίνουσιν ὁδὸν πλανωμένοις.

251 [i] Βουδόρωι νόμωι: Ἐπὶ τῶν ἀξίων τοῦ δαίρεσθαι ὡς οἱ βόες.

252 Βοΐδιον Μολοττικόν: Ἐπὶ τῶν καλλίστων· ἐπειδὴ διαφέρουσιν οἱ ἐν [k] Ἠπείρῳ βόες. B

253 Βολίτου δίκην: Πρὸς τοὺς ἀξίους καὶ ἐπὶ μικροῖς τιμωρίαν ὑπέχειν. Ἐν γὰρ τοῖς Σόλωνος [l] ἄξοσιν ὁ νόμος καὶ τοὺς βόλιτον ὑφελομένους κολάζει.

254 Βοῦς ἐν πόλει: Ἐπὶ τῶν παραδόξων καὶ θαυμαζομένων. [m] Λυσίας γὰρ ἀνέθηκε βοῦν ἐν ἀκροπόλει. C

255 [n] Βήσας ἕστηκας οἷον ἀχανής: Οὗτος ἕστηκεν ἀχανὴς παταγώδης καὶ ὑπόμωρος.

256 Βάλλε Μακαρίαν: Οἱ μὲν κατὰ εὐφημισμὸν ἐδέξαντο λέγεσθαι ἀντὶ τοῦ Βάλλε εἰς δειλαιότητα. Μακαρίαν γὰρ χωρίον ἐν Ἅιδου διατυποῦσιν. Οἱ δὲ τὴν Μακαρίαν θυγατέρα τοῦ D
Ἡρακλέους, καὶ κατὰ χρησμὸν εἰς ἑκούσιον θάνατον ἑαυτὴν ἐπιδοῦναι, κατὰ τὴν Εὐρυσθέως ἐπὶ τὰς Ἀθήνας στρατείαν. Τὸν οὖν τάφον αὐτῆς ἄνθεσι καὶ στεφάνοις τιμῶντες οἱ Ἀθηναῖοι ὕστερον ἐπέλεγον, Βάλλ' ἐς Μακαρίαν. Τὸ μὲν οὖν πρῶτον ἐπὶ τῶν κατ' ἀρετὴν διδόντων ἑαυτοὺς εἰς θάνατον· ὕστερον δὲ καταχρηστι- E
κῶς ἐπὶ πάσης ἀφοσιώσεως ἡ παροιμία ἐλέγετο.

niensibus bobus junctis ostendit. Hinc et Βουζύγιον Athenis locus, quo de in Connubialibus Plutarchus [p. 144 B.] SCHOTT.

251. Vat. I. 22.

i Βουδόρῳ] Utitur Zenobius, Hesychius et Suidas, sed ignota proverbii est origo. Erasmus reddidit *Budarensi more*. *Budorum* vero promontorium est Salamini oppositum, teste Stephano. SCHOTT.

252. Vat. I. 23.

k πείρῳ] Pro πείρῳ, ἠπείρῳ tentabam, nisi quid melius alii habent. Aut fort. πείρᾳ. SCHOTT. ἠπείρῳ B.

253. Vat. I. 24.

l ἄξοσι] Suidas eadem, nisi quod Σόλωνος, habet diserte, [et A.B.] cujus erant ἄξονες legum Athenis: nisi si exaudiri facile queat. SCHOTT.

254. Vat. I. 25.

m Λυσίας] Quis hic Lysias, ut supra Isæus Samius Adag. 16. nondum equidem comperi. Viderint eruditiores, et otio abundantes. SCHOTT. V. supra n. 242. et mirere Schotti oscitantiam.

255. Vat. I. 26.

n Βήσας] Habet totidem pæne verbis Mich. Apostolius, typis editus, et calamo exaratus: et Besas nomen est proprium, sed hominis ignoti. SCHOTT.

256. Zen. II. 61.

257 [o]ΒΑΤΤΑΡΙΖΕΙΣ: Ἀπὸ Βάττου τινὸς [p]ἰσχνοφώνου. A

258 ΒΑΤΟΥ ΣΙΛΦΙΟΝ: Ἐπὶ τῶν τὰς ὑπερβαλλούσας τιμὰς εὑρισκόντων. Μετενήνεκται δὲ [q]ἀπὸ τείχους Κυρηναίου ἑνὶ τῶν Βαττιάδων μεταδοῦναι ἐξαίρετον σίλφιον.

259 [r]ΒΙΟΣ ΜΕΜΑΓΜΕΝΟΣ: Ἐπὶ τῶν ἐξ ἑτοίμου καὶ ἀπόνως τρεφομένων. Γράφεται καὶ ΒΙΟΣ ἈΛΗΛΕΣΜΕΝΟΣ, καὶ τίθεται ἐπὶ τῶν B εὐδαιμονίαν ἐμφαινόντων.

260 ΒΕΒΛΗΚ' ἈΧΙΛΛΕΥΣ ΔΥΟ ΚΥΒΩ ΚΑΙ ΤΕΤΤΑΡΑ: Τοῦτο Εὐριπίδου ἐστὶ, ὡς Ἀριστόξενός φησι, ὅτι Εὐριπίδης διορθῶν τὸν Τήλεφον [s]ἐξεῖλε τὴν ([t]πεττείαν.) Λέγεται δὲ ἐπὶ τῶν ἀδιανοήτων.

257. Vat. I. 27.

[o] Βατταρίζεις] Diogenianus [III. 68.] ἀντὶ τοῦ τραυλίζειν pro *balbutire*, ex Herodoto, lib. IV. c. 155. et Cic. libro VI. ad Atticum [Ep. 5.] aliter paullo usurpat: ad quem locum ut et de ἰσχνοφωνίᾳ, disputat Desiderius Adag. 76. Cent. VII. Chil. III. Βαττολογία ab eodem derivata vox, ac vitium hæsitantis, exilis, ac blæsæ linguæ. Hesychius locis duobus, Etymologista, et Suidas a Batto vocem derivant. Quæ sequuntur τιμὰς εὑρισκόντων, nisi εὑρίσκοντος legas, mutila sunt, et alterius sunt potius parœmiæ, mireque depravata. Reponenda forte ex Hesychio Βάττου σίλφιον. Παροιμία ἐπὶ τῶν τὰς ὑπερβαλλούσας τιμὰς εὑρισκομένων, (vel ut hîc legitur εὑρισκόντων.) Μετενήνεκται δὲ ἀπὸ τοῦ τείχους (forte ἔθνους) Κυρηναίου (male Hesychius ἀπὸ τοῦ Κυρηναίου) ἑνὶ τῶν Βαττιαδῶν μεταδοῦναι ἐξαίρετον τὸ σίλφιον, claro sensu, quem etiam paucis mutatis in Apostolio et Suida reperias, nisi quod editum in Apostolio est unico τ, ἑνὶ τῶν Βάτων: et in Basil. Hervagii editione anni 1538. in Adag. Βάτου σίλφιον. Ἐπὶ τῶν σπανίως τι μεταλαμβανόντων. Emendo, ἐπὶ τῶν σπανίως τιμὰς λαμβανόντων. Et mox trajecta suo colloco ordine: καὶ τοῦ νομίσματος ἐπὶ μὲν θατέρου Ἄμμωνα, ἐπὶ δὲ θατέρου σίλφιον ἐτύπωσαν. Οἱ δὲ ἐπὶ Λιβύης, &c. Rectius vero Suidas, opinor, Βάττων geminata ταῦ littera præfert. Ita enim Libyes reges suos appellare solitos tradit Herodotus libro IV. [c. 155.] apud quem aliud genus hominum Battiadæ sunt. [c. 202.] SCHOTT.

[p] ἰσχνοφώνου] Nonnulla excidisse putat Hemsterhus. ad Aristoph. Plut. p. 320. In Schotti ed. scilicet omissa sunt priora verba sequentis proverbii, Βάτου— ὑπερβαλλούσας, quæ integra præbet B.

[q] ἀπὸ τείχους Κυρηναίου] ἀπὸ τοῦ τοὺς Κυρηναίους Hemsterhusius ib.

259. Vat. I. 28.

[r] Βίος μεμ.] Hæc quoque duo conjunxit Suidas, sed explanat aliter paullo: additque continenter tertium βίον ἐξηυλημένον, *Extibiatam vitam*, pro inutili, ducta a detritis tibiis tralatione. SCHOTT.

260. Vat. I. 29.

[s] ἐξεῖλε] Hiatum explevi addita voce τὴν πεττείαν e Zenobio Centuria II. Adag. 85. qui legit καὶ Ἀριστόξενος. Aristophanes autem Comicus ἐν βατράχοις pag. 277. nuperæ editionis [v. 1447.] in ore Bacchi collocat, ut Euripideum; cui tamen falso attribui auctor sit

261 Βοῦς ἐν αὐλίῳ γέρων: ᵗἘπὶ τῶν δι' ἀσθένειαν ἡσυχαζόντων. A

262 ᵘΒάλλ' εἰς φθόρον: Ἐπὶ τῶν ὀλέθρου ἀξίων.

263 Γαλῆ Ταρτησία: ᵛΝῆσός ἐστιν ἡ Ταρτησὸς ἔξω τῶν Ἡρακλείων στηλῶν, ἧς Ἀργανθώνιος ἐβασίλευεν. Ὡς οὖν ἐκεῖ μεγάλων γενομένων γαλῶν λέγεται ἡ παροιμία. B

264 Γλαὺξ ἐν πόλει: Ὑπὸ Φαίδου ἀνετέθη Γλαὺξ ἐν ἀκροπόλει.

265 Γλαὺξ ἵπταται: Ἡ πτῆσις τῆς γλαυκὸς νίκης σύμβολον ἐνομίζετο Ἀθηναίοις.

266 ˣΓνῶθι σαυτόν: Ἐπὶ τῶν ὑπὲρ δύναμιν κομπαζόντων. Ἔστι δὲ ἀπόφθεγμα ἑνὸς τῶν ἑπτὰ σόφων, ἤτοι Σόλωνος ἢ Θάλου. C

267 ʸΓραῦς ἔριφος: Ἔριφος γραῦς ἡ ἐν παρθενίᾳ γεγηρακυῖα. Οἱ δὲ τὴν ἀρουραίαν ἀκρίδα φασὶν ὑπό τινων μάντιν καλουμένην, κατὰ Σικελίαν δὲ Γραῦν ἔριφον, ἢ Γραῦν ἐρίφων.

gravis censor Aristarchus. Sic enim enarrator Græcus: Ἀρίσταρχός φησιν ἀδεσπότως τοῦτο προφέρεσθαι ὡς Εὐριπίδου πεποιηκότος κυβεύοντας ἐν τῷ Τηλέφῳ, οὓς καὶ περιεῖλε. Euripides quoque in Supplicibus de Cadmo: [v. 330. Ἔτ' αὐτὸν ἄλλα βλήματ' ἐν κύβοις βαλεῖν Πέποιθα.] Simile fortasse de talis proverbium Zenobii Centur. IV. Adag. 23. Suidæque et Diogeniani: *Aut ter sex, aut tres tali.* De quo et Eustathius in Hom. Iliad. π. [p. 1083, 64.] SCHOTT.

[t] Deest vox cum lacuna B. et sic Vat.

261.

262. Vat. I. 30.

[u] Βάλλ' εἰς] Talia sunt illa imprecantium: Βάλλ' εἰς κόρακας: *Abi ad corvos*, et κατ' εὐφημισμὸν, Βάλλ' εἰς μακαρίαν: *Aufer te in beatam*, pro *in malam rem*. SCHOTT.

263. Vat. I. 35.

[v] Νῆσος] Suidas totidem pæne verbis, sed πόλις habet. De Tartesso Strabo, [III. p. 199=221.] et nos ad Pomponium Melam [II. 6, 25.] et Ant. Augustinus Dial. VIII. Antiqq. Numismatum. SCHOTT.

264. Vat. I. 36. Φαίδρου Hesych.

265. Zen. II. 89.

266. Vat. I. 37.

[x] Γνῶθι σεαυτὸν e cælo descendisse Juvenalis Sat. XI. v. 27. canit, et Cic. libro de Legibus [Ep. ad Quint. Frat. III. 6. Tusc. I. 22.] ac Varronianæ apud Nonium Satyræ hinc sumpta inscriptio. Pro Solone (etsi et hic unus sit septem Græciæ Sapientum) Chilonem id usurpasse Laërtius ait [I. 40.] et Thaletem interrogatum, quid esset difficile, respondisse, *Se nosse*. SCHOTT.

267. Vat. I. 39.

[y] Γραῦς ἔριφος] Suidas ejusque interpres Germanus *Seripha* præferunt, non ab ἐρίφῳ hœdo: ut alio proverbio domi ludere hœdus dicitur pro juvenca. Nam a Seripho insula Seriphia est rana muta derivata. Clarius autem Suidas metaphoram esse dixit ab agresti traductam locusta, quæ et μάντις *vates* sit dicta Siculis. SCHOTT.

268 ΓΥΜΝΌΤΕΡΟΣ ΛΕΒΗΡΊΔΟΣ: Ἀριστοφάνης ΤΥΦΛΌΤΕΡΟΣ ΛΕΒΗΡΊΔΟΣ. Λέγεται δὲ λεβηρὶς τὸ δέρμα τοῦ ὄφεως ἀπὸ τῆς λεπίδος. Κυρίως δὲ λεβηρὶς ᾧ περιέχεται τὸ ἔμβρυον τοῦ βοός. Τριχῇ δὲ ἀναγράφουσι τὴν παροιμίαν, οἱ μὲν ΓΥΜΝΌΤΕΡΟΝ, οἱ δὲ ΚΕΝΏΤΕΡΟΝ, οἱ δὲ ΤΥΦΛΌΤΕΡΟΝ. A

269 ΓΡΑΫ́Σ [a]ΒΑΚΧΕΎΕΙ: Ἐπὶ τῶν παρ' ὥραν τι διαπραττομένων. B
Ταῖς γὰρ νέαις πρέπει χορεύειν.

270 ΓΥΜΝΩ͂Ι ΦΥΛΑΚῊΝ ἘΠΙΤΆΤΤΕΙΣ: Ἐπὶ τῶν μὴ δυναμένων τὰ τεταγμένα πληροῦν.

271 ΓΈΛΩΣ ΣΥΓΚΡΟΎΣΙΟΣ: Ἤτοι ἄκοσμος καὶ ἄτακτος· παρ' ὅσον τινες γελῶντες τὰς χεῖρας συγκρούουσιν ἢ τοὺς πόδας. C

272 [b]ΓΕΡΑΝΔΡΥ͂Ν ΜΕΤΑΦΥΤΕΎΕΙΝ: Ἐπὶ τοῦ ἀδυνάτου. Παρεγγυᾷ δὲ, ὅτι μὴ δεῖ τοὺς παρηβηκότας προάγειν εἰς τὰ τῶν ἀκμαζόντων ἔργα.

273 ΓΌΝΥ ΚΝΉΜΗΣ ἜΓΓΙΟΝ: Ἐπὶ τῶν ἑαυτοὺς μᾶλλον ἑτέρων ἀγαπώντων. Φασὶ γὰρ ἐν τῷ κατὰ Χαιρώνειαν πολέμῳ ἰδόντα D
τινὰ ἀνεψιὸν καὶ ἀδελφὸν καταπονουμένους βοηθῆσαι τῷ ἀδελφῷ εἰπόντα τὸ προκείμενον.

274 ΓΗΡΆΣΚΩ Δ' ἈΕῚ ΠΟΛΛᾺ ΔΙΔΑΣΚΌΜΕΝΟΣ: Ἐπὶ τῶν διὰ τὸ γῆρας ἐμπειροτέρων.

275 ΓΡΑΩ͂Ν ὝΘΛΟΙ: Ἐπὶ τῶν μάτην ληρούντων. E

276 ΓΛΑΥ͂ΚΑ ΕἸΣ ἈΘΉΝΑΣ: Ἐπὶ τῶν ἀχρήστους ἐμπορίας ἀγόντων· ἐπειδὴ πάνυ ἐγχωριάζει τοῖς Ἀθηναίοις τὸ ζῶον.

277 ΓΑΛΗ͂ ΧΙΤΏΝΙΟΝ: Ὁμοία τῇ, ΟΥ̓ ΠΡΈΠΕΙ ΓΑΛΗ͂Ι ΚΡΟΚΩΤΌΣ. Ἐπειδὴ γαλὴ κατὰ πρόνοιαν Ἀφροδίτης γυνὴ γενομένη ἐν χιτῶνι κροκωτῷ οὖσα ἐπέδραμε μυΐ. F

278 [c]ΓΈΡΡΑ ΝΆΞΙΑ: Γέρρα Σικελοὶ λέγουσι τὰ ἀνδρεῖα καὶ γυναι-

268. Zen. II. 95.
[a] βλακεύει A.
269. Zen. II. 96.
270. Zen. II. 98.
271. Zen. II. 100.
272. Zen. III. 1.
[b] Γερᾶδρυον Zen.
273. Zen. III. 2.
274. Zen. III. 4.
275. Zen. III. 5.
276. Zen. III. 6.
277. Zen. II. 93.
278. Vat. I. 40.
[c] ἁμαξιαῖα] Quid Maxia adhuc quæro. *Gerras Siculas* etiam Ausonius celebrat et Plautus. SCHOTT. Νάξια et mox Νάξῳ B.

κεῖα αἰδοῖα. *Ἦν δὲ ἐν τῇ Σικελικῇ Νάξῳ τέμενος ἐπιθαλάσσιον A Ἀφροδίτης, ἐν ᾧ μεγάλα αἰδοῖα ἀνέκειτο.

279 Γαλῆι στέαρ: Πρὸς τοὺς οἷς χαίρουσι ταῦτα λαμβάνοντας.

280 [d]Γάλλοισί τε τεμεῖν: Ἐπὶ τῶν ἀφροντίστως ἀπαλλαγὴν πραγμάτων ποιήσασθαι βουλομένων. Γάλλοι γὰρ καλοῦνται οἱ ἀποτετμημένοι, ἢ ἀπὸ Γάλλου τοῦ ποταμοῦ, ἢ ὅτι μεταπεπτώκα- B σιν εἰς ἑτέραν φύσιν.

281 Γαστέρα μοι προφέρεις κάλλιστον ὄνειδος ἁπάντων· ἣ πλήθουσα μὲν ἐλαφρὰ κενὴ δὲ βαρεῖα: Ἐπὶ τῶν γαστριμαργούντων.

282 Γηρᾶ βοῦς, τὰ δ' ἔργα πολλὰ τῷ βοΐ: Ἐπὶ τῶν διὰ τὸ C γῆρας ἀχρήστων.

283 Γέλως Ἰωνικός: Ἐπὶ τῶν κενοδόξων καὶ ἐκλελυμένων· παρ' ὅσον οἱ Ἴωνες ἐπὶ τούτοις διαβάλλονται. Γράφεται καὶ Γέλως Χῖος [e]ἐπὶ τῶν διὰ πλῆθος χρόνου οὐχ ἁμαρτανόντων.

284 Γέραιρε σαυτόν: Ἐν ἤθει, ἀντὶ τοῦ εὔφραινε σαυτόν. D

285 Γέλως Μεγαρικός: Ἐπὶ τῶν ἀώρως θρυπτομένων. Ἤκμασε γὰρ [f]ἐπὶ χρόνον ἡ Μεγαρικὴ κωμῳδία, ἣν Ἀθηναῖοι καταμωκώμενοι ἐγέλων.

286 Γέροντι μηδὲν μηδέποτε χρηστὸν ποιεῖν: [g]Παρεγγυᾷ μὴ δὲ [h]ἀκαίρως εὐεργετεῖν.

279. Vat. I. 41.

280. Vat. I. 42.

d Γαλλοὺς] Galli sacerdotes Cybeles Deæ, exsecti Samia testa. Pleni sunt libri. SCHOTT. Γαλλοὺς Vat. Γαλλιστὶ Coisl. Γάλλοισι B.

281. Diog. III. 85.

282. Vat. I. 44.

283. Vat. I. 45.

e Ἐπὶ τῶν διὰ χρόνου πλῆθος οὐχ ἁμαρτανόντων] Ut assuta neque huc pertinentia asterisco notavi, et alio trajicienda in suum locum. SCHOTT.

284. Suid. p. 812 A.

285. Vat. I. 46.

f ἐπὶ χρόνον] Deesse videtur nomen cujus floruit temporibus, loco ἀώρως, quod hîc male geminatum. Suidas ἄωρος habet, et hæc Græce continet, etsi omissa a Germano interprete. SCHOTT.

286. Vat. I. 31.

g Παρεγγυοῦ B.

h ἀκαίρως] Ἀκρίτως, *sine delectu et judicio*, hîc in Suida est, pro quo noster ἀκαίρως. Aristoteles quoque vulgi dicto jactatum affirmat II. Rhetor. ad Theodectem [I. 15, 14.] Amplius vero Diogenianus hoc proverbium extulit [VI. 61.]: *Ne quis feminæ, puero, cani alterius et garrulo faciat bene.* Senibus quidem et pueris, forte quod cito obliviscantur beneficiorum. Hinc etiam L. Seneca lib. III. de Benef. c. 34. colligit hinc fieri, quod ingratos

833 ΣΑΡΔΟΝΙΟΣ ΓΕΛΩΣ: Ἐπὶ τῶν μὴ ἐκ χαιρούσης διανοίας γε- B
λώντων· παρ' ὅσον οἱ τὴν Σαρδὼ οἰκοῦντες Καρχηδονίων ἄποικοι τοὺς ὑπὲρ τὰ ο̄ ἔτη γεγονότας τῷ Κρόνῳ ἔθυον, γελῶντες, καὶ ἀσπαζόμενοι ἀλλήλους. Τινὲς δὲ ἀπὸ Σαρδοῦς τῆς νήσου φασί. Φύεται γὰρ ἐν ταύτῃ βοτάνη σελίνῳ παρομοία, οὗ γενόμενοι δοκοῦσι μὲν γελᾷν, σπασμῷ δὲ ἀπόλλυνται. C

834 ΣΑΡΠΗΔΟΝΙΑ ἈΚΤΗ: Τόπος τῆς Θρᾴκης ἀεὶ κλύδωνας ἔχων καὶ κυματιζόμενος.

835 ΣΙΚΕΛΙΚΟΣ ΣΤΡΑΤΙΩΤΗΣ: Ἐπεὶ ξένοις ἐχρῶντο στρατιώταις ὡς ἐπὶ πολὺ οἱ ὑπὸ Ἱέρωνα τὸν τύραννον.

836 ΣΙΚΕΛΗ ΤΡΑΠΕΖΑ: Ἐπὶ τῶν ἄγαν τρυφηλῶν. D

837 ΣΙΛΦΙΟΥ ΛΕΙΜΩΝ: ˣΕἶδός τι τῆς Λιβύης σίλφιον. Καὶ παροιμία ΤΟ ΒΑΤΤΟΥ ΣΙΛΦΙΟΝ.

838 ΣΚΟΡΑΚΙΖΕΙΝ: ΤΟ ΕΙΣ ΚΟΡΑΚΑΣ ΠΕΜΠΕΙΝ καὶ ἐκφαυλίζειν.

839 ΣΥΚΟΝ ΑΙΤΕΙΣ: Ἐπὶ τῶν κολακευόντων. Οἱ γὰρ Ἀθηναῖοι

νος εἰς τὸν ἀρχαῖον ῥυθμόν. Strabo inibi Minervam a Jove editam Rhodi ex Homericis creditum versibus ait pag. 450. et Colossum Solis a Charete Lindio fabricatum, versumque poëtæ explanat ex Il. β'. v. 656. Λίνδον, Ἰάλυσόν τε, καὶ ἀργινόεντα Κάμειρον. SCHOTT. λιν Αθη B.

833.

834. Zen. V. 86.

835. Zen. V. 89.

836. Diog. VIII. 7.

837. Vat. III. 77.

x εἶδος βοτάνης] Βοτάνης adjeci ut necessarium ad sensum. Meminit adagii et in Pythiis Pindarus. De *Silphio Batti* Aristophanes in Pluto, et fusius ibi Græcus enarrator, et in adagiis Erasmus: Apostolius vero, Σιλφίου βάθος. Latinis herba *Laserpicium* dictum, estque in Africa frequens: Catullus Epigram. 7. *Quam magnus numerus Libyssæ arenæ Laserpiciferis jacet Cyrenis Oraculum Jovis inter æstuosi Et Batti veteris sacrum sepulcrum.* Aristoteles in Cyrenensium politia nummis etiam silphium insculpsisse Battum commemorat apud Scholiast. Aristoph. Et in nummis hodieque sic inscriptis herba spectatur ΚΥΡΑ apud V. Cl. Antonium Augustinum Dial. I. Antiquitatum in nummis, quos olim adolescentes Latinos ex Hiberico fecimus. SCHOTT.

838. Zen. V. 90.

839. Zen. V. 91.

ἐκολάκευον τοὺς γεωργοὺς βουλόμενοι παρ' αὐτῶν σῦκα λαμβάνειν A
τὰ πρώϊμα· οἰωνίζοντο γὰρ αὐτοῖς καὶ πάλιν ἐλθεῖν εἰς τὰ νέωτα.

840 Σινωπίσαι: Ἐπὶ τοῦ ἀσχημονῆσαι· ἀπὸ ἑταίρας τινὸς ἐκ [y]Σινώπης.

841 [z]Σκύθης τὸν ὄνον: Ἐπὶ τῶν λόγῳ μὲν ἀκκιζομένων, ἔργῳ δὲ ἐφιεμένων. Ἰδὼν γάρ τις νεκρὸν ὄνον, ἔφη, Δεῖπνόν τοι, ὦ B
Σκύθα. Ὁ δὲ ἐβδελύξατο πρῶτον· αὖθις δὲ πολυπραγμονήσας, περὶ αὐτὸν ἐπονεῖτο.

842 [a]Σκάνδιξ: Λάχανον ἄγριον, παρ' ὃ καὶ σκανδικοπώλην τὸν Εὐριπίδην ἔλεγον, ὡς λαχανοπωλητρίας υἱόν.

843 [b]Σκυθῶν ἐρημία: Ἐπὶ τῶν ἐρημουμένων ὑπό τινων. Καὶ C
τὰ ἐρημότερά φασι τῆς Σκυθίας ἐρημίας εἶναι.

840. Vat. III. 78.

[y] Σινώπης] De Sinope scorto nobili Athenæus lib. XV. [XIII. p. 586 A.] et Suidas ex Alexide, Valerius Harpocration Anaxilao et Amphide Comœdis quoque refert proscissam teste H. Junio Cent. V. Adagio 30. Posset etiam tractum videri proverbium a Sinopensium moribus, de quibus Geographi. SCHOTT.

841. Vat. III. 80.

[z] Σκύθης] Suidas totidem pæne verbis, nisi quod ἐμυσάξατο præfert, eademque Diogenianus. Zenobius in adag. Ὁ Σκύθης τὸν ἵππον gemina prope, et Clemens Alexandrinus in Pædagogo [III. p. 98. Sylb.] Scythas ait et equo vehi, et sanguinem secta vena epotare. M. Tullius lib. II. ad Atticum: *Habes Scytha* ὄνον. Et explicat doctiss. Turnebus lib. XVIII. Advers. cap. 9. Sequentia ἔτι ἐκωμῳδοῦντο, [Hæc om. B.] ad aliam pertinent parœmiam. Forte ad Ἀχαρνικοὶ ὄνοι, ut apud Hesychium legitur. SCHOTT.

842. Vat. III. 86.

[a] Σκάνδιξ] Scandix, vulgo *Scandaria*, vilissimum oleris genus agreste. De Euripidis Tragici matre Clito nomine, etsi nobilem fuisse Philochorus apud Moscopulum in ejus Vita asserat, olera tamen venditasse ait Theopompus apud Agellium lib. XV. Noctium cap. 20. et Valerius Maximus lib. III. cap. 4. Diogenianus hoc ipso adagio, et Aristophanes salsus Comicus initio Equitum, ubi Demosthenes [v. 19.] Μὴ διασκανδικίσῃς. Et in Acharnensibus Dicæopolis ait [456.] Φεῦ· εὐδαιμονοίης ὥσπερ ἡ μήτηρ ποτέ. Et utrobique Græcus enarrator, qui λαχανοπώλιδος υἱὸν nominat. De recentioribus, ex his Had. Turnebus lib. XV. Adversar. cap. 3. et Joan. Brodæus lib. IV. Miscellan. cap. 26. SCHOTT.

843. Vat. III. 79.

[b] Σκυθῶν] De Scythica non solum barbarie et immanitate, sed et solitudine Q. Curtius Rufus lib. VII. De gestis Alexandri Magni: *Scytharum*, inquit, *solitudines Græcis etiam proverbiis audio eludi*, &c. Utitur in Acharnensibus Aristophanes [v. 704.] SCHOTT.

844 Συβαριτικὴ τράπεζα: Ἡ πολυτελής· τρυφηταὶ γὰρ οἱ Συ- A
βαρῖται.

845 Συβαρῖται διὰ πλατείας: Ἐπὶ τῶν σοβαρῶς πορευομένων.

846 Σῦκον ἐφ' Ἑρμῆι: Ἐπὶ τῶν ἐγκειμένων ἐπ' ὠφελείᾳ τοῖς βουλομένοις. Ὁπότε γὰρ φανείη σῦκον, τοῦτο Ἑρμῇ ἀνετίθεσαν, B
καὶ οἱ βουλόμενοι ἐλάμβανον.

847 Σὺν Ἀθηνᾶι καὶ χεῖρα κίνει: Ἐπὶ τοῦ μὴ χρῆναι ἐπὶ ταῖς τῶν θεῶν ἐλπίσι καθήμενον ἀργεῖν. Τίθεται δὲ ἐπὶ γυναικῶν μάλιστα ὀφειλουσῶν ἐργάζεσθαι· ἡ γὰρ Ἀθηνᾶ ἐργάνη. Εἴρηται δὲ ἀπὸ ὀνηλάτου, οὗ ὁ μὲν ὄνος εἰς πηλὸν ἐπεπτώκει, ὁ δὲ δέον διὰ C
χειρῶν βοηθεῖν ἐπεκαλεῖτο τὸν Ἡρακλέα· ὁ δὲ ἐκέλευσεν αὐτὸν
Τὴν χεῖρα προσφέροντα τὸν θεὸν καλεῖν.

848 Συρρακοσία τράπεζα: Ἡ πολυτελής· ἐδόκουν γὰρ Σικελιῶται ἁβροδίαιτοι εἶναι μᾶλλον πάντων.

849 Συστομώτερος [c] σκάφης: Ἀπὸ τῶν τὰς σκάφας μεταφερόν- D
των μετοίκων ἐπὶ ταῖς πομπαῖς, οἷς οὐδὲ χανεῖν ἐφεῖτο. Λέγεται ἐπὶ τῶν μὴ δυναμένων παρρησιάζεσθαι.

850 Σοφία μωροῦ: Ἀδιεξέταστοι λόγοι.

851 Σχῖνον διατρώγειν: Εἰώθασι τὸν σχῖνον τρώγειν οἱ καλλωπιζόμενοι ἕνεκα τοῦ λευκοῦν τοὺς ὀδόντας· παρ' ὃ καὶ τοὺς τοιού- E
τους σχινοτρώκτας ἔλεγον.

852 Σειρὴν μὲν φίλον ἀγγέλλει, κεῖνον δὲ μέλισσα: Σειρῆνα οὐ τῶν ᾠδίκων λέγει μίαν παρθένων, ἀλλὰ ζῶον μελίσσῃ ἐοικός.

853 Σοφοὶ τύραννοι τῆι σοφῶν συνουσίαι: Τοῦτο Σοφοκλέους F
ἐστιν ἐξ Αἴαντος τοῦ Λοκροῦ.

844. Zen. V. 87.
845. Zen. V. 88.
846. Zen. V. 92.
847. Zen. V. 93. Mox προφέροντα B.
848. Zen. V. 94.
849. Vat. III. 82.
c ληκύθου] Zenobius, Diogenianus, Suidas, et Apostolius, σκάφης loco ληκύθου habent. Erasmus etiam συντομώτερος legi concedit, ut metu contractum et humilem accipias. SCHOTT. σκάφης B.
850. Suid. ubi ἀδιεξόδευτοι.
851. Zen. V. 96.
852. Zen. V. 97.
853. Zen. V. 98.

854 ΣΥΝ ΔΕ ΘΕΟΙ ΜΑΚΑΡΕΣ: Τοῦτο ἐπιλέγουσιν οἱ ῥαψῳδοὶ, ὡς A
καὶ οἱ κιθαρῳδοὶ,

'Αλλ' ἄναξ μέγα χαῖρε.

855 ΣΑΥΤΗΝ ΕΠΑΙΝΕΙΣ: Αὕτη κατ' ἔλλειψιν εἴρηται· τὸ δὲ πλῆρες,

Σαύτην ἐπαινεῖς, ὥσπερ 'Αστυδάμας, γύναι. B

'Αστυδάμας γὰρ ὁ Μορσίμου εὐημερήσας ἐν τῇ ὑποκρίσει Παρθενοπαίου, ἐψηφίσθη εἰκόνος ἐν τῷ θεάτρῳ ἀξιωθῆναι. Γράψας οὖν αὐτὸς ἐπίγραμμα ἔπαινον ἔχον ἑαυτοῦ, ἀνήνεγκεν ἐπὶ τὴν βουλήν· ἡ δὲ ἐψηφίσατο ὡς ἐπαχθὲς αὐτῷ μηκέτι γραφῆναι.

856 ΣΥΜΒΑΛΛΟΥΜΕΝΟΣ: Κατ' ἔλλειψιν καὶ αὕτη. 'Ενδεῖ γὰρ εἰς C
ἔρωτα. Μέμνηται ταύτης 'Αλέξανδρος.

857 ΣΥΡΒΗΝΟΣ ΧΟΡΟΣ: Αὕτη κατὰ τῶν ἀτάκτων χορῶν. Σύρβην δὲ τὸν τάραχον ἔλεγον. 'Απὸ τοῦ τινὰς τοῖς [d] ὑσὶν ἐπιφωνεῖν Σῦρβας.

858 [e] ΣΑΜΙΩΝ ΑΝΘΗ: 'Επὶ τῶν ὑστάταις ἡδοναῖς χρωμένων. D

* * * * * * * *

859 ΣΑΜΙΚΗ ΛΑΥΡΑ: 'Επὶ τῶν πρὸς τρυφὴν καὶ ἀγορὰς πολυτελεῖς ἐκκεχυμένων.

860 [f] ΣΙΦΝΙΑΖΕΙΝ: 'Ως Κρητίζειν καὶ Λεσβιάζειν, ἀπὸ νήσου Σίφνου καλουμένης. Ἔστι δὲ τὸ ἅπτεσθαι τῆς πυγῆς δακτύλῳ. E
Λεσβιάζειν δὲ τὸ παρανομεῖν στόματι.

854. Zen. V. 99.
855. Zen. V. 100.
856.
857. Zen. VI. 1.
[d] οἶσιν A. B.
858. Vat. III. 81.
[e] Σαμίων] Adhibet proverbium e Clearcho Athenæus lib. XII. [p. 540 F.] et Stephanus Samum ἀνθέμουσαν appellatam refert. Suidas etiam illud, Σαμίων ὁ δῆμος, de Samiis ab Atheniensibus bello motis et compunctis notis, quibus servi solent, explanat. SCHOTT.
859. Sequentia desunt B. Ea supplevimus quantum licuit ex A.

860. Vat. III. 84.
[f] Σιφνιάζειν] Siphnus insula una Cycladum non procul Creta, auctore Stephano, cujus et Herodotus meminit, et proverbii etiam Hesychius, in quo emendandum vidit doctissimus Junius Cent. IV. Adag. 66. διδόμενος pro διδούμενος. Aliud hinc proverbium: Σίφνιος ἀρραβὼν, quod et Suidas exponit. Addunt autem hîc membranæ: Ἔστι δὲ τὸ ἅπτεσθαι τῆς πυγῆς δακτύλῳ. Λεσβιάζειν δὲ τὸ παρανομεῖν στόματι. SCHOTT. Σίφνιον ἀστράγαλον memorat Strabo X. p. 707 = 742.

861 Σινδαρωνέτεσθαι: Μέμνηται ταύτης Φερεκράτης. Ἔστι A
δὲ ἀπὸ τοῦ τοὺς ἄνδρας [g]σίνεσθαι.

862 Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ἀνδρὶ παρείη:

863 Τὰ ἀπὸ τρίποδος: Ἐπὶ τῶν ἀληθῶς λεγομένων, ἤτοι ἀπὸ τοῦ Δελφικοῦ τρίποδος, ἢ ἀπὸ τοῦ Πυθαγορικοῦ.

864 Ταντάλου τάλαντα: Διαβόητος ὁ Τάνταλος ἐπὶ πλούτῳ. B

865 Ταχυβάμονας ὅρκους: Ἀρίσταρχος κατὰ ἀντίφρασιν ἀκούει τοὺς βραδεῖς· βέλτιον δὲ τοὺς ἐν ἑτέρῳ τινι γενομένους νοεῖν.

866 Τερμέρια κακά: Τὰ μεγάλα, καὶ ἡ παροιμία ἐντεῦθεν.

867 Τετράδι μὲν γέγονας τοίχου: Τὸν Ἡρακλέα φασὶ τετράδι
γενέσθαι, καὶ πρῶτον ἔνδοξον ὄντα ἄλλῳ ταλαιπωρεῖν. Λέγεται C
ἐπὶ τῶν ἄλλοις πονούντων. Φασὶ δὲ ὅτι καὶ τετράδι θεὸς ἐνομίσθη.

868 Τραγικὸς πίθηκος: Ἐπὶ τῶν παρ' ἀξίαν σεμνυνομένων. Παρὰ Δημοσθένει.

869 [h]Τρὶς ἓξ νικητήριος βόλος: Ἐπὶ τοῦ εὐστόχου. Ἀπὸ D
τῶν κυβευόντων. Ὁ γὰρ βόλος ὁ πλήρης ἓξ ἦν. Τὸ πάλαι δὲ τρεῖς ἐβάλλοντο κύβοι.

870 Τυφλότερος ἀσπάλακος: Τοῦτο τὸ ζῶον οὐκ ἔχει ὀφθαλμούς· φασὶ δὲ αὐτὸ ὑπὸ τῆς γῆς τυφλωθῆναι, διὰ τὸ φθείρειν τοὺς
καρπούς. Ἔχει δὲ ὀδόντας μιαρωτάτους, καὶ ῥύγχος ὡς γαλῆς, E
καὶ πόδας ἄρκτου.

871 [i]Τυφλῶν ὀνείρων: Ἤτοι τῶν ἀπατηλῶν, ἢ ὅτι τοῖς μύουσι προσδιαλέγονται.

872 Τὸ Πάρνου σκαφίον: Ἐπὶ τῶν τὰ μικρὰ πολλάκις ζητούν-

861. Vat. III. 85.
g σίνεσθαι] Hesiodium est [Opp. 316.]—ἄνδρας μέγα σίνεται. Et ibi interpretes. Deductum a verbo σίνομαι. Vide Etymologum et Varinum. SCHOTT.
862. Diog. VIII. 22.
863. Zen. VI. 3.
864. Zen. VI. 4.
865. Photius.
866. Zen. VI. 6.
867. Zen. VI. 7.
868. Photius.
869. Vat. III. 92.
h Τρὶς ἓξ] Suidas adfert, et explicat Hadr. Junius rectius quam Erasmus Cent. V. Adagio 62. in *Ter sex jacit*, et nos ad Zenobii Parœmiarum Cent. 4. SCHOTT.
870. Diog. VIII. 25. Photius.
871. Vat. III. 93.
i Τυφλῶν] Video Erasmum legisse singulari numero Τυφλὸν ὄνειρον. Diogenianus, ut hîc, multitudinis. SCHOTT. προσδιαλέγεται A.
872. Vat. III. 94.

των. Πάρνος γὰρ κυβερνήτης ἦν, ὃς τὴν σκαφὴν ἀπολέσας A
συνεχῶς ἠνώχλει τῷ δήμῳ καὶ τῇ βουλῇ, αἰτιώμενος τοὺς τὸ σκα-
φίον ὑφελομένους.

873 [j]ΤΩ͂Ν ἘΠῚ ΚΟΣΚΊΝΩΙ: Μαντευομένων δηλονότι. Καὶ ΤΩ͂Ν ἈΠῸ ΤΡΊΠΟΔΟΣ, καὶ ΤΩ͂Ν ἈΠῸ ΔΆΦΝΗΣ.

874 [k]ΤΉΝΕΛΛΑ: Τοῦτο σημαίνει τὴν ἐν τοῖς ἀγῶσι νίκην. Μί- B
μημα γάρ ἐστι τοῦ αὐλητικοῦ ἐνδοσίμου.

875 [l]ΤῸ ἘΠΙΜΕΝΊΔΕΙΟΝ ΔΈΡΜΑ: Ἐπὶ τῶν ἀποθέτων εἴρηται. Ἀπέκειτο γὰρ κατά τι λόγιον τοῖς Λακεδαιμονίοις τὸ τοῦ Ἐπιμενίδου δέρμα. Ἐβίω δὲ οὗτος, ὡς φησὶν ὁ Θεόπομπος, ἔτη ἕκατον πεντήκοντα καὶ ἑπτά· ἅπερ ἕπτα ἐκαθεύδησεν. C

876 ΤᾺ ΣΑΜΊΩΝ [m]ὙΠΟΠΤΕΎΣΕΙΣ: Ἐπὶ τῶν δεδιότων τινὰς ἀνηκέστους κακῶν προδοσίας.

877 ΤῸ ΑἸΣΏΠΕΙΟΝ ΑἿΜΑ: Ἐπὶ τῶν [n]δυσεκνίπτοις ὀνείδεσιν ἐμπεπτωκότων. Τοῖς γὰρ Δελφοῖς ἀνελοῦσι τὸν Αἴσωπον συνέβη τὸ δαιμόνιον χαλεπῆναι. D

873. Vat. III. 95.

j Τὰ ἐπὶ κοσκίνῳ] Suidas bis adhibet, ibidemque illud: Τὰ ἐκ τρίποδος. SCHOTT. Τῶν A.

874. Vat. III. 96.

k Τήνελλα] Τήνελλος et Τήνελλα lyræ etiam harmonia est, victoriam denuntians: non tamen est classicum canere aut receptui, ut in pugna solenne. Ἐνδόσιμος vero qui rhythmus sit, explicat in Comment. Budæus. SCHOTT. v. Schol. Aristoph. Ach. 1228.

875. Vat. III. 97.

l Τὸ Ἐπιμενίδειον] Est in Diogeniani proverb. De somno autem Epimenidis, ut et Endymionis, non eadem omnibus sententia est. M. Varro enim et Plutarchus quinquaginta dormiisse annos putant: septem bis C. Plinius adjicit lib. VII. Nat. histor. cap. 52. Laërtius vero quadraginta septem: ut hîc ζ addendum opiner μζ, vel νζ. Proverb. quoque exstat, *Ultra Epimenidem dormire*, ex illo Luciani in Timone [c. 6.] Ὑπὲρ τὸν Ἐπιμενίδην κεκοίμησαι. Vide Pet. Victorium lib. XXIV. cap. 1. Variar. lect. SCHOTT.

876. Vat. III. 98.

m Suidas ἀποπτύεις legit, redditque Germanus interpres *exspuis*. Ego vero nihil demuto. Mox pro ἀνηκέστους, quod hîc scriptum repperi, reposui ἀνηκούστους. In Suida tamen, ne quid dissimulem, ἀνηκέστους κακῶν passim editum. De Samiis autem litteratis, bellique stigmate compunctis, nos ad Zenob. Adag. *Samiorum mala*. SCHOTT.

877. Vat. III. 99.

n δυσεκνίπτοις] Suidas legit δυσαπορρίπτοις: Diogenianus vero δυσαπονίπτοις Centuria 1. Et mox legi malim περιπεπτωκότων. De nece Æsopi in ejus vita Maximus Planudes, et Joach. Camer. SCHOTT.

878 Τοῖς κόσσα λόγοις: Κόσσας ἀνὴρ δίκαιος, Πελανεὺς τὸ A
γένος· οἱ δὲ Πελανεῖς οὗτοι πόλεμον ἔχοντες πρὸς Σαλαμινίους
ἐπεκαλέσαντο συμμάχους τοὺς γείτονας, ὁμολογήσαντες αὐτοῖς
μεταδώσειν τῆς χώρας. Νικήσαντες οὖν οὐ μετέδωκαν, τοῦ Κόσσα
συμβουλεύοντος ταῖς ὁμολογίαις ἐμμένειν· ἀνθ' ὧν λοιμῷ περι-
πεσόντες τοὺς Κόσσα λόγους ἐπῄνουν. B

879 Τὸν αὐλητὴν αὐλεῖν: Αὐλητὴς ἐγένετο μὴ πάνυ τοῖς αὐλη-
τικοῖς ἐμμένων νόμοις, ἀλλὰ παρακινῶν, ὅθεν ἡ παροιμία.

880 Τὸ παρὰ δρῦν σκότος: Ἀριστοτέλης φησὶν ἐν τῇ Σαμίων
πολιτείᾳ Πριηνέας πολλοὺς ὑπὸ Μιλησίων ἀναιρεθῆναι περὶ τὴν
καλουμένην Δρῦν. Ὅθεν καὶ τὰς Πριηνέας γυναῖκας ὀμνύναι τὸ C
παρὰ τὴν Δρῦν σκότος.

881 Τὸ σκαλικὸν ξύλον οὐδέποτ' ὀρθόν: Αὕτη δημώδης.
Λέγεται δὲ ἐπὶ τῶν διάστροφα πράγματα κατευθύνειν πειρωμένων,
καὶ μηδὲν ὠφελούντων.

882 Τὸ [o]Φρυνίχου πάλαισμα: Κατὰ τῶν φρονίμως καὶ συνετῶς D
σοφιζομένων. Θουκυδίδης ἱστορεῖ, ὅτι Φρύνιχος Ἀθηναίων στρα-
τηγὸς ἐν Σάμῳ, μελλόντων τῶν στρατιωτῶν κατάγειν Ἀλκιβιά-
δην, ἐδήλωσε τῷ ναυάρχῳ Λακεδαιμονίων ὁ Φρύνιχος, ὅτι βούλοιτο
αὐτῷ προδοῦναι τὸ στράτευμα. Λαβόντος δὲ τὴν ἐπιστολὴν Ἀλ-
κιβιάδου, καὶ πέμψαντος τοῖς Ἀθηναίοις, παρὰ μικρὸν ἐλθὼν ἀπο- E
λέσθαι ὁ Φρύνιχος, γράφει πάλιν τῷ ναυάρχῳ τὸ γεγονὸς, αἰτιώ-
μενος καὶ φάσκων τὸ στράτευμα πάλιν προδώσειν αὐτῷ εἰ ἐπέλ-
θοι. Σημάνας δὲ προηγόρευσε τοῖς στρατιώταις δευτέραν ἥξειν
ἐπιστολὴν κατ' αὐτοῦ παρὰ Ἀλκιβιάδου, καὶ πολεμίων ἐφόδου
ἐσομένης φυλάξασθαι. Οὕτως δὲ γεγονότων τούτων, καὶ κομιζόν- F
των μὲν τῶν γραμμάτων, γενομένης δὲ τῆς ἐφόδου, ἐπίστευσαν οἱ

878. Suid. p. 3596 D.
879.
880. Zen. VI. 12.
881. Vat. III. 100.
882. Vat. IV. 1.

[o] Φρυνίχου πάλαισμα] Eadem Suidas. Desiderius *luctam* nunc *luctationem* vertit. Mihi magis placet *calliditas*, aut *inventum*. Quid autem sit πάλαισμα docet Pet. Victorius lib. II. Variar. lect. cap. 10. et lib. XXI. cap. 2. Thucydidæ narratio est lib. VIII. [c. 50.] belli Pelopon. p. 588. 589. ubi *Astyochum* nominat Lacedæmoniorum classis nauarchum. SCHOTT. Suidas, σημήνας δὲ, οὕτως—π. ἔφοδον ἐσομένων—συμβάντων δὲ οὕτως τ. κ. κομισθέντων.

στρατιῶται πάντα καὶ τὰ νῦν καὶ τὰ πρότερα κατὰ τοῦ Φρυνίχου A δι' ἔχθραν ὑπ' Ἀλκιβιάδου γεγενῆσθαι.

883 Τὸ ἀρνίον σοι λελάληκεν: Αἰγύπτιοι τοῦτό φασιν, ὅτι ἀνθρωπείᾳ φωνῇ τὰ μέλλοντά τινι τῶν βασιλέων λελάληκεν.

884 Τὸ Ἡσιόδειον γῆρας: Ἀριστοτέλης ἐν Ὀρχομενίων πολιτείᾳ δὶς [p]τεθάφθαι φησὶ τὸν Ἡσίοδον, καὶ ἐπιγράμματος τοῦδε B τυχεῖν·

> Χαῖρε δὶς ἡβήσας, καὶ δὶς τάφου ἀντιβολήσας,
> Ἡσίοδ', ἀνθρώποις μέτρον ἔχων σοφίης.

παρ' ὅσον τότε γῆρας ἀπέβη, καὶ δὶς ἐτάφη.

885 Τὸ Μηλιακὸν πλοῖον: Ἐπὶ τῶν [q]ἄγαν ῥεόντων. Φησὶ γὰρ C Ἀριστοτέλης, Ἱππότην εἰς οἰκίαν ἀποστελλόμενον τοῖς μὴ βουληθεῖσιν αὐτῷ συμπλεῖν καταρᾶσθαι. Ἐπειδὴ γὰρ προφασιζόμενοι οἱ μὲν τὰς γυναῖκας αὐτῶν ἀρρωστεῖν, οἱ δὲ τὰ πλοῖα ῥεῖν, κατέμενον, κατηράσατο μήτε πλοῖα στεγανὰ γενέσθαι ποτὲ, καὶ ὑπὸ τῶν γυναικῶν ἀεὶ κρατεῖσθαι. D

886 Τῶν φιλτάτων τὰ φίλτατα: Μηλίοις ἀνεῖλεν ὁ θεὸς φιλεῖν τῶν φιλτάτων τὰ φίλτατα. Μέχρις οὖν ἐτῶν δέκα ἐξ γυμνοὺς περιέφερον τοὺς παῖδας, καὶ κατεφίλουν ἐν Ὀλυμπίᾳ.

887 Τὸ Δωδωναῖον χαλκεῖον: Ἐπὶ τῶν πολλὰ λαλούντων καὶ μὴ διαλειπόντων. Ἐν Δωδώνῃ γὰρ ἐπὶ κίονος χαλκεῖον ἵστατο; E ἐπὶ δ' αὐτοῦ πλησίον παῖς ἐξηρτημένος μάστιγα χαλκῆν πνεύματος κινοῦντος εἰς τὸν λέβητα ταύτην ἐνέβαλλε, καὶ [r]οὕτως ἦχος ἀπετελεῖτο μέγας.

888 Τὸν Ὕλαν κραυγάζουσιν: Ἐπὶ τῶν μάτην πονούντων καὶ βοώντων. Ἐπειδὴ τὸν Ὕλαν ἀφανῆ γενόμενον ὁ Ἡρακλῆς ἀπο- F βὰς τῆς Ἀργοῦς, ζητήσας οὐχ εὗρε. Καὶ ἔτι δέ φασι τοὺς Κιανοὺς ὡρισμένην ἡμέραν κατ' ἔτος ἀνακαλεῖσθαι τὸν Ὕλαν.

883. Vat. IV. 2.

884. Vat. IV. 3.

[p] τετράφθαι A.

885. Vat. IV. 4.

[q] ἄγαν ῥεόντων] Suidas habet ἄγαν ἐκρεόντων pro ῥεόντων, et εἰς ἀποικίαν. Mox etiam legas: καὶ γυναικοκρατεῖσθαι. Turbat hîc Erasmus, vitioso Suidæ usus exemplari Græco, dum hîc *Aristotelem* nescio quem *Meliacum* somniat. SCHOTT.

886. Vat. IV. 5.

887. Zen. VI. 5.

[r] οὗτος A.

888. Diog. VIII. 33.

889 [s]Τὸ Θετταλὸν σόφισμα: [t]Ἐπὶ τῶν σοφιζομένων καὶ κακουργούντων. Ἀπὸ Μένωνος τοῦ τῷ Κύρῳ τῷ νεωτέρῳ συναναβάντος, ὃς προὔδωκεν Ἀρταξέρξῃ τοὺς Ἕλληνας. A

890 Τενέδιος ἄνθρωπος: [t]Ἐπὶ τῶν φοβερῶν τὰς ὄψεις.

891 [t]Τοῦ δ' ἄρ' ὁ Κωρυκαῖος ἠκροάζετο: Πειραταῖς τισί τινες τῶν ἐκ Κωρύκου συνέπραττον, καὶ περιεργαζόμενοι τῶν πλεόντων τὰ φορτία, καὶ καθ' ἣν ἡμέραν ἀποπλεύσουσιν ἐμήνυον ταῦτα τοῖς πειραταῖς. Τοῦτο μαθόντες οἱ ἔμποροι ἀπέκρυπτον τὰ πολλά· ἐπειδὴ δὲ καὶ οὕτως ἔνια τοῖς πειραταῖς ἐμηνύετο, ἐκράτησεν ἡ παροιμία ἐπὶ τῶν δοκούντων μὲν λάθρα πράττεσθαι εἰς γνῶσιν δὲ ἐρχομένων. B C

892 Τρυγόνος λαλίστερος: Μέμνηται ταύτης Μένανδρος ἐν Πλοκίῳ. [t]Ἐπειδὴ αἱ τρυγόνες οὐ μόνον τοῖς στόμασι ἀλλὰ καὶ τοῖς ὀπισθίοις μέρεσιν ἠχοῦσι. Τάττεται δὲ ἐπὶ τῶν πολλὰ λαλούντων.

893 Τὰ τρίτα τῶν εἰς θάνατον: [t]Ἐπὶ τῶν λ̄ τῶν καταγινωσκομένων θανάτῳ προεφέρετο γ̄, ξίφος, βρόχος, κώνειον. D

894 Ταῦτα σοὶ καὶ Πύθια καὶ Δήλια: Πολυκράτης ὁ Σάμου τύραννος ἑλὼν Ῥηνίαν καὶ ἀναθεὶς αὐτὴν Ἀπόλλωνι τῷ Δηλίῳ, ἀγῶνα θεὶς κάλλιστον, ἠρώτα πέμψας εἰς Δελφοὺς πῶς δεῖ καλεῖν τὸν ἀγῶνα, Δήλια ἢ Πύθια. Ἀνεῖλε δὲ αὐτὸς ὁ θεὸς, ταῦτά σοι καὶ Δήλια καὶ Πύθια. [t]Ἐσήμαινε δὲ αὐτῷ ὅτι εὐθὺς ἀποθανεῖται· [t]Ὀροίτης γὰρ αὐτὸν ὁ Πέρσης ἐσταύρωσεν. Εἴρηται ἐπὶ τῶν ὕστατα καὶ τελευταῖα ποιούντων. E

895 Τῶν εἰς τὴν φαρέτραν: Φύλαρχός φησὶ τοὺς Σκύθας ἀλύπως τὴν ἡμέραν διαγαγόντας ψῆφον ἐμβάλλειν εἰς τὴν φαρέτραν λευκὴν, ὀχληρῶς δὲ μέλαιναν· ἐπὶ τῶν ἀποθνησκόντων τοίνυν F

889. Vat. IV. 6.
[s] Τὸ Θετταλὸν] Zenobius refert Centur. IV. Adag. 29. et Suidas semel iterumque Centuria VII. SCHOTT.
890. Zen. VI. 9.
891. Vat. IV. 7.
[t] Τοῦ δ' ἄρα ὁ Κωρυκαῖος] Zenobius totidem pæne verbis Centuria IV. Adag. 75. Κωρυκαῖος ἠκροάζετο. Et Suidas. In extremo tamen, εἰς γνῶσιν δὲ ἐρχομένων. Equidem pro διεξερχομένων, divisa voce reposui δὲ ἐξερχομένων. SCHOTT.
892. Zen. VI. 8.
893. Zen. VI. 11.
894. Zen. VI. 15.
895. Zen. VI. 13.

ἀριθμεῖν τοὺς ψήφους· καὶ εἰ πλείους αἱ λευκαὶ ηὑρίσκοντο, ηὐ- A
δαιμόνιζον τὸν ἀπογενόμενον· ὅθεν παροιμιασθῆναι τὴν ἀγαθὴν
ἡμέραν συνέβη, λεγόντων τῶν ἐκ τῆς φαρέτρας ὑπάρχειν. Καὶ
Μένανδρος τὴν ἀγαθὴν ἡμέραν λευκήν φησιν ἐν Λευκάδι.

896 [u]Τὰ πολλὰ πράττειν οὐκ ἐν ἀσφαλεῖ βίῳ: Ἐπὶ τῶν εἰς
κίνδυνον ἐμπιπτόντων διὰ τὸ πολλὰ πράττειν. B

897 [v]Τὰ ἐκ τῶν ἁμαξῶν: Ἐπὶ τῶν ἀσελγέστερα σκωπτόντων
τάττουσι ταύτην. Ἀθήνησι γὰρ ἐν τοῖς Διονυσίοις μεθυσθέντες
κωμάζουσι, μεθ' ἡμέραν δὲ τοὺς ἀπαντῶντας σκώπτουσιν ἐφ'
ἁμαξῶν καθήμενοι.

898 Τὸ δέ τοι κλέος [x]ἐσσομένοιο: Ἐπὶ τῶν δαιμονίως γενέσθαι C
προδηλουμένων φήμῃ τινι.

899 [y]Τὸν Κολοφῶνα ἐπέθηκε: [z]ιβ' πόλεις τῆς Ἰωνίας συνῄε-
σαν εἰς τὸ Πανιώνιον λεγόμενον περὶ τοῦ κοινοῦ βουλευσόμενοι·
καὶ εἴποτε ἴσοι αἱ ψῆφοι ἐγένοντο, περίττην ἐτίθεσαν τὴν νικῶσαν.
Σμυρναίους γὰρ ἐλθόντας εἶχον συνοίκους, ὑπὲρ ὧν καὶ τὴν ψῆφον D
ἐτίθεντο. Ὅθεν ἐπὶ τῆς κρατούσης καὶ βεβαιούσης εἴρηται
ψήφου.

900 [a]Ταινάριον κακόν: Τὸ μέγα καὶ παρανομούμενον εἰς οἰ-

896. Vat. IV. 8.

[u] Τὰ πολλὰ] Senarius hic indicat, quod et vulgo in ore: verumque est Epicuri illud, *Felicem qui lateat, vivatque obscurus.* SCHOTT.

897. Vat. IV. 9.

[v] Τὰ ἐκ τῶν ἁμαξῶν] Vide Horatii interpretes ad illud in Arte poëtica versu 276. *plaustris vexisse poëmata Thespis Qui canerent, agerentque peruncti fæcibus ora.* Et plura hîc Suidas. SCHOTT.

898. Vat. IV. 10.

[x] Ἐσσομένοιο] Sic Vatic. Puto rescribendum ἐσσομένοισι. Similia habet, etiam proverbii specie Hom. Ιλ. γ'. ver. 287. et 460. Ἥ τε καὶ ἐσσομένοισι μετ' ἀνθρώποισι πέληται. SCHOTT.

899. Vat. IV. 11.

[y] Τὸν Κολοφῶνα] Locus depravatus et mutilus. Proverbium a superiore avellimus, pertinetque ad *Colophonium suffragium,* ubi Des. Erasmus explanat. Alibi *Colophonium addidit:* de cujus origine diversa adferunt Hesychius et Strabo lib. Geogr. XIV. [p. 921=952.] nec ipsi inter se consentiunt, adferuntque longe ab his diversa. *Jabenus* Græcus scriptor, quem Adagio *Colophonium suffragium* auctorem laudat Chiliastes Batavus, mihi fando inauditus est, nisi si *Iulon* aut ejus farinæ est quispiam. Vide et *Minervæ suffragium.* SCHOTT. Vid. Schol. Platon. p. 18. Aristid. p. 627.

[z] μ' A.

900. Vat. IV. 12.

[a] Ταινάριον] Crudelitatis Laco-

κέτας. Λακεδαιμόνιοι γὰρ τοὺς εἰς Ταίναρον καταφυγόντας τῶν A
εἱλώτων ἀπέκτειναν.

901 Τίς τρόπος ἵππων: Ἐπὶ τῶν παρηλλαγμένων καὶ ἀλλόκοτόν
τι ποιούντων.

902 [b]Τὰ πρῶτ' ἀρίστους παῖδας Αἴγινα τρέφει: Ἐπὶ τῶν ἐν
ἀρχῇ κοσμίων, μετὰ δὲ ταῦτα ἀσελγαινόντων. B

903 Τί οὐ γενήσῃ [c]ἰὼν εἰς Ἀρβέλας: Ἀρβέλα πόλισμα Σι-
κελῶν. Οἱ δὲ ἐνοικοῦντες ἐκεῖσε ἐδόκουν εὐεξαπάτητοι εἶναι.

904 Τὰ ἐκ παλαιοῦ: Λείπει τὸ Τύρου. [d]Τύρον γὰρ τὴν παλαιὰν
Ἀλέξανδρος ὁ Μακεδὼν πολλῇ χειρὶ ἐπελθὼν διέθηκε τὰ χαλε-
πώτατα, ὥστε τὴν πόλιν κατασκάψαι· τοὺς δὲ πολίτας οὓς μὲν C
ἀνασκολοπίσαι, οὓς δὲ κατακαῦσαι. Ἐκ τούτου γοῦν ἡ παροιμία
ἐπὶ τῶν κακῶς διακειμένων.

905 Τὰς ἐν Ἅιδου τριακάδας: Τιμᾶται ἡ τριακὰς ἐν Ἅιδου
[e]διὰ τὴν Ἑκάτην μυστικώτερον, ἢ καὶ τὰ τρία ἐπιθύεται· ἐπεὶ
καὶ αὐτὴν τὴν Ἑκάτην φασὶ Τριτογενῆ εἶναι. Καὶ γὰρ Ἀθηνᾶ D
καὶ Ἄρτεμις καὶ Ἑκάτη αἱ τρεῖς δοκοῦσιν ἓν εἶναι. Τὸ γοῦν

num in Helotas supplices in Neptuni templo historiam narrat Thucydides libro I. et Suidas in Collectaneis. SCHOTT.

901. Suid.

902. Vat. IV. 13.

[b] Τὰ πρῶτ' ἀρίστους] Habet Diogenianus et Suidas: hic etiam eodem principio sensuque adagium adfert: Τὰ πρῶτα Ἄρης εἰς τοὺς παῖδας ἐπῃνεῖτο. Ut de Neronis Aug. quinquenario, quo bonus fuit, Suetonius et alii referunt. SCHOTT.

903. Vat. IV. 14.

[c] ἰὼν] Pro ἰὼν Apostolius editus τυγχάνων habet. Stephanus Siculis urbibus Arbelas adnumerat. Persidi etiam Strabo lib. XVI. et in Mesopotamia Q. Curtius. SCHOTT.

904. Vat. IV. 15.

[d] Τύρον] De Tyri laboriosa obsidione idem Q. Curtius et Arrianus; et nos Vitis comparatis Aristot. et Demosthenis. SCHOTT.

905. Vat. IV. 16.

[e] διὰ τὴν Ἑκατὴν] De Hecate triformi, quæ et Pallas, et Diana, hoc quoque loco Diogenianus, et pleni sunt Poëtarum libri. Maro: *Tergeminamque Hecatem, tria virginis ora Dianæ.* Naso: *Tuque triceps Hecate.* Ausonius in Gripho ternarii. Et multa congessit Lilius Giraldus Syntagmate Deorum XII. et XVII. de canibus illi solitis immolari, ut quæ eadem Diana sit. Aristophanis autem in Pluto enarrator ternas enumerat, Lunam, Dianam, Hecaten, pro eadem, ut σελήνην pro Ἀθηνᾷ ponat; sed nihil in fabulis Deorum certi, involucra cum sint nugarum. Addit et cenam Hecatæ apponi a ditibus solitam, qua pauperes rapta vescerentur. SCHOTT.

μυστικὸν Ἑκάτη ἡ Φερσεφόνεια καλεῖται, τῶν ὑποχθονίων δεσπότις. Ὅθεν καὶ ἀφιδρυμένη Ἑκάτη πρὸς ταῖς τριόδοις ἐστὶ, καὶ τὰ νεκύσια τῇ τριακάδι ἄγεται. Λεχθείη δ' ἂν ἡ παροιμία ἐπὶ τῶν περιέργων καὶ τὰ ἀποκεκρυμμένα ζητούντων γινώσκειν. A

906 Τὸ Πάσητος ἡμιωβόλιον: Οὗτος ἐπὶ μαλακίᾳ καὶ μαγείᾳ διεβεβόητο, ὥστε καὶ ἐκ τῶν ἐπαοιδῶν αὐτῶν καὶ δεῖπνα πολυτελῆ ὁρᾶσθαι, καὶ διακονουμένους τινὰς, καὶ πάλιν ἀφανεῖς γινομένους. Εἶχε δὲ καὶ ἡμιωβόλιον [f]πεποιημένον ὑπ' αὐτοῦ τοῖς πιπράσκουσιν. Ὠνούμενος γοῦν δι' αὐτοῦ ὅπερ ἠβούλετο, πάλιν ἑαυτῷ τοῦτ' ἀνελάμβανεν. B

907 Τὸ βασιλικὸν βοΐδιον: Ἐπὶ Πτολεμαίου τοῦ νέου Διονύσου βασιλεύοντος βοῦς ἔτεκεν ἐξ βοΐδια· οἰωνὸν δὲ ἀγαθὸν τὸ συμβεβηκὸς λαβὼν ὁ Πτολεμαῖος, προσέταξεν ἐν τοῖς βασιλείοις μετὰ πάσης πολυτελείας τρέφεσθαι, διὸ καὶ βασιλικὸν ἐκλήθη. C

908 Τὸ Δίωνος γρύ: Δίων ὁ Ἀλεξανδρεὺς γέγονεν ἐπὶ φιλοσοφίᾳ διαβόητος. Λοιδορούμενος ὑπὸ τοῦ ἀδελφοῦ αὐτοῦ Διονυσίου τοῦ παλαιστοῦ, ὃν ψιόνιον ἐκάλουν, καὶ ἀκούων ῥητὰ καὶ ἄρρητα, καί τοι πολλοῦ παρακολουθοῦντος ὄχλου, αὐτὸς μὲν οὐδὲν ἐφθέγξατο, τὸ τῆς φιλοσοφίας παράγγελμα τηρῶν· ἐντὸς δὲ τοῦ ἰδίου πυλῶνος γενόμενος καὶ μηδὲν ὀργῆς ὑποφήνας, εἶπε πρὸς τὸν νεανίσκον οὐδὲ γρύ. Ἐπὶ τοῦ μικροῦ καὶ τοῦ τυχόντος. Καὶ γὰρ τὸν ἐν τοῖς ὄνυξι ῥύπον γρὺ λέγομεν, καὶ γρυτάρια τὰ κατὰ τὴν οἰκίαν σκευάρια λεπτὰ, καὶ γρυπῶλον τὸν τὰ σκευάρια πωλοῦντα. D E

909 Τὰ μηδὲν πρὸς τὸν Διόνυσον: Ἐπὶ τῶν τὰ ἀνοίκειά τισι προσφερόντων. F

910 Τὶς ἐν Κύδωνος: Ἐπὶ τῶν φιλοφρόνως δεχομένων τοὺς ξένους. Ἀπὸ Κύδωνος Κορινθίου φιλοξένου.

911 [g]Τὴν Συρακουσίων δεκάτην: Δήμων Συρακουσίους εὐδαι-

906. Vat. IV. 17.

[f] Πεποιημένον αὐτῷ emendavi e Suidæ Collect. cum vitiose scriptum esset in Vat. memb. ποττημένον αὐτοῦ, voce nihili. Ἐπαοιδὸς, καὶ Ἐπῳδὸς quid, vide Suidam et Hesych. SCHOTT.

907. Diog. VIII. 41.
908. Suid.
909. Vat. IV. 18.
910. Vat. IV. 19.
911. Vat. IV. 20.

[g] Τὴν Συρακουσίων] Sic adagium Desiderius aptavit: οὐδὲ τὴν δεκά-

μονήσαντάς φησι ψηφίσασθαι τὴν δεκάτην τῶν ὑπαρχόντων ἀποδιδόσθαι εἰς ἐπισκευὴν ναῶν τε καὶ ἀναθημάτων καὶ θεωριῶν· πολλοῦ τε χρήματος συναχθέντος, εἰς παροιμίαν ἐλθεῖν, ὡς καὶ τὴν Πριηνέων δεκάτην. A

912 [h]ΤῊΝ ἹΕΡᾺΝ ἌΓΚΥΡΑΝ: Ἐπὶ τῶν μελλόντων τελευταῖον εἰπεῖν ἐπιχείρημα τῶν πάντων μέγιστον, ἀπὸ τῆς ἐν τῇ νηῒ ἀγκύρας B ἱερᾶς καλουμένης, ἤτοι μεγίστης, ἣ τελευταία πάντων βάλλεται εἰς θάλασσαν, χειμῶνος αὐτὴν σφόδρου κατειληφότος.

913 Τὸ ἘΝ ΤΗ͂Ι ΚΑΡΔΊΑΙ ΤΟΥ͂ ΝΉΦΟΝΤΟΣ ἘΝ ΤΗ͂Ι ΓΛΏΣΣΗΙ ΤΟΥ͂ ΜΕΘΎΟΝΤΟΣ: Ἀπὸ τῶν ἐν μέθῃ τἀληθῆ λεγόντων.

914 Τὸ ΠΈΛΑΓΟΣ ΠΡΌΤΕΡΟΝ ΟἼΣΕΙ ἈΜΠΈΛΟΥΣ: Ἐπὶ τῶν ἀδυνάτων. C

915 Τὸν ΚΑΠΝΟΝ ΦΕΎΓΩΝ ΕἸΣ ΤῸ ΠΥ͂Ρ ἘΝΈΠΕΣΟΝ: Ἐπὶ τῶν τὰ μικρὰ τῶν δεινῶν ἐθελόντων φυγεῖν, καὶ εἰς μείζονα ἐμπιπτόντων.

916 [i]ΤΥΔΕῪΣ ἘΚ ΣΥΦΟΡΒΊΟΥ: Ταύτην λελέχθαι φασὶ διὰ τὸ ἀδιάθετον καὶ ἀπαίδευτον τοῦ Τυδέως. Τὴν γὰρ θυγατέρα Ἱππονόου D Περίβοιαν Οἰνεὺς βιάζεται. Γνοὺς δὲ ταύτην ἔγκυον οὖσαν ὁ πατὴρ, ὑφορβῷ παρέδωκε μετὰ τοῦ γεννωμένου παιδὸς τοῦ Τυδέως.

917 ὝΠΝΟΣ Δ' ἈΠΈΣΤΩ ΓΛΥΚΎΘΥΜΟΣ ὈΜΜΆΤΩΝ: Ἐπὶ τῶν βουλομένων φιλοσοφεῖν.

918 ὟΣ ὙΠῸ ῬΌΠΑΛΟΝ: Παροιμία παρὰ Δεινολόχῳ ἐπὶ τῶν ἑαυτοὺς εἰς ὄλεθρον ἐμβαλλόντων. E

τὴν Συρακουσίων ἔχει, e Strabone libro VI. Geogr. [p. 389=414.] qui et alibi de Biante Prienensi, cujus justitia proverbio quoque locum dedit, ut hîc rescribendum in extremo Πριηνέως δίκην pro δεκάτην existimem, nisi quid secus doctis hominibus videatur. *Syracusanæ* etiam *epulæ, mensæque Siculæ* proverbiis celebrantur. SCHOTT.

912. Vat. IV. 21.

h Τὴν ἱερὰν] Vide in Suida, χαλάσω τὴν ἱερὰν ἄγκυραν, [p. 3868 A.] SCHOTT.

913. Vat. IV. 22.

914. Vat. IV. 23.

915. Vat. IV. 24.

916. Vat. IV. 25.

i Τυδεὺς] De *Tydeo* hoc, ejusque adagio, nihil equidem comperi. Illud tantum, missam videri constupratam filiam Peribœam in subulci domum, quam Tydeus prioris oblitus domus frequentare non erubuerit. Hæret hîc alioqui aqua. Et mox ἔγκυον reponendum, etsi in Vatic. esset membranis ἔγγυον. SCHOTT. Vid. Apollodor. I. 8, 5.

917. Vat. IV. 26. Arist. Nub. 705.

918. Vat. IV. 27.

919 Ὗς ἐκώμασεν: Ἐπὶ τῶν ἀκόσμως τι ποιούντων. A

920 Ὗς ὑπὲρ ὅπλον ἀραμεῖται: Ἐπὶ τῶν ἑαυτοὺς εἰς ὄλεθρον ἐμβαλλόντων.

921 [k]Ὕφαλος φάτις: Ἐπὶ τῶν κρυφίων.

922 Ὕπερον κοσμεῖς: Ὅμοιον τῷ χύτραν ποικίλλεις.

923 Ὑπέρου περίτροφον: Γρ. ἐπίτροπον. Ἐπὶ τῶν πάντα τὰ B αὐτὰ ποιούντων καὶ μηδὲν περαινόντων.

924 Ὑπὲρ τὰ ἐσκαμμένα πηδᾷν: Ἀπὸ Φαΰλλου τοῦ πεντάθλου τόδε, εἰς ὃν ἐπεγέγραπτο,

Πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φάϋλλος.

Ἐπεὶ γὰρ ὑπὲρ τοὺς ἐσκαμμένους ν̄ πόδας ἑτέρους ε̄ εἰς τὸ στε- C ρεὸν ἐπήδησεν, εἰς παροιμίαν περιέστη.

925 Ὕδωρ παραρρέει: Αὕτη τάττεται ἐπὶ τῶν ἐκ παντὸς ἔργου ἐπαγγελλομένων καταπράξασθαι τὸ προκείμενον. Μετενήνεκται δὲ ἀπὸ τῶν ὑπὸ σπουδῆς εἰς ῥέοντα πλοῖα εἰσβαινόντων.

926 Ὑπὲρ ὄνου σκιᾶς: Φασὶν ὅτι Δημοσθένης ὁ ῥήτωρ ἀπολο- D γούμενος ὑπέρ τινος κινδυνεύοντος, οὐκ ἀνεχομένων τῶν δυναστῶν, εἶπεν· Ἀκούσατε, ὦ ἄνδρες, διηγήματος τερπνοῦ· Νεανίσκος ποτε ὄνον ἐμισθώσατο Ἀθήνηθεν Μεγάραδε, μεσημβρίας δὲ καταλαβούσης, καταλύσας τὸν γόμον ὑπῆλθε τὴν σκιὰν τοῦ ὄνου· ἐκβαλλόμενος δὲ ὑπὸ τοῦ ὀνηλάτου, πρὸς βίαν διεφέρετο, μεμισθῶ- E σθαι καὶ τὴν σκιὰν λέγων· ἀντιλέγοντος δὲ τοῦ ὀνηλάτου, καὶ φάσκοντος τὸν ὄνον μεμισθωκέναι, εἰς δικαστήριον εἰσῆλθον ἀμφότεροι. Εἰπὼν δὲ ταῦτα ὁ Δημοσθένης, κατέβαινεν ἐκ τοῦ βήματος. Ἀξιούντων δὲ τῶν δικαστῶν τῆς δίκης τὸ τέλος μαθεῖν, εἶπεν, ἀναβὰς πάλιν ἐπὶ τοῦ βήματος· Ὑπερ μὲν ὄνου σκιᾶς F ἀκούειν, ὦ ἄνδρες, ἐπιθυμεῖτε, ἀνθρώπου δὲ κινδυνεύοντος ὑπὲρ ψυχῆς οὐδὲ τῆς φωνῆς ἀνέχεσθε; Ἄλλοι δὲ λέγουσιν ὅτι Ἀθήνηθεν εἰς Δελφοὺς τὸν ὄνον ἐμισθώσατο. Τάττεται δὲ ἐπὶ τῶν περὶ μηδενὸς χρησίμου φιλοτιμουμένων.

919. Vat. IV. 28.
920. Vat. IV. 29.
921. Vat. IV. 30.
[k] Ὕφαλος] Tralatio elegans a saxis ὑφ' ἅλος κεκρυμμένοις. SCHOTT.

922. Vat. IV. 31.
923. Zen. VI. 25.
924. Zen. VI. 23.
925. Zen. VI. 24.
926. Zen. VI. 28.

927 Ὕδραν τέμνεις: Ἐπὶ τῶν ἀμηχάνων· διὰ τὰς τῆς ὕδρας A κεφαλὰς, ἃς τέμνων ὁ Ἡρακλῆς οὐδὲν μᾶλλον ἐκράτει αὐτῆς ἀναδιδούσης ἄλλας ἀντὶ τῶν κοπτομένων.

928 Ὑπερβερεταῖος: Ἐπὶ τῶν ὑπερχρονίων εἴρηται. Παρὰ γὰρ Μακεδόσιν ὁ τελευταῖος μὴν τοῦ ἐνιαυτοῦ Ὑπερβερεταῖος προσαγορεύεται. B

929 Φακοῦ γωνίαν: Ἐπὶ τῶν ἀδυνάτων.

930 Φακὸν κόπτεις: Ἐπὶ τῶν ἀνηνύτων καὶ μὴ ὄντων.

931 Φρουρεῖν ἢ πλουτεῖν: Ἀθηναῖοι φρουραῖς διαλαβόντες τοὺς νησιώτας, μισθοὺς ἔταξαν μεγάλους τοῖς φυλάττουσιν ὑπ' αὐτῶν χορηγεῖσθαι τῶν νησιωτῶν. C

932 Φρουρῆσαι ἐν Ναυπάκτῳ: Φιλίππου Ναύπακτον ἑλόντος Ἀχαιοὶ τοὺς φρουροὺς ἀπέκτειναν, ὥς φησι Θεόπομπος.

933 [1]Φιλοξένου λόγον τέτευχεν: Κατὰ τῶν ἑτέρως ἀρνουμένων ἡ παροιμία. Φιλόξενος γὰρ ὁ Κυθήριος διαφυγὼν τὰς εἰς Συρακουσίων λατομίας εἰς ἃς ἐνέπεσεν, ὅτι Διονυσίου τοῦ τυράννου τὰς D τραγῳδίας οὐκ ἐπῄνει, διέτριβεν ἐν Τάραντι τῆς Ἰταλίας. Μεταπεμπομένου δὲ Διονυσίου αὐτὸν, καὶ ἀξιοῦντος διὰ γραμμάτων, ὁ Φιλόξενος ἀντιγράψαι μὲν οὐκ ἔγνω, λαβὼν δὲ βιβλίον τὸ στοι-

927. Zen. VI. 26.
928. Zen. VI. 30.
929. Vat. IV. 32.
930. Vat. IV. 33.
931. Zen. VI. 32.
932. Zen. VI. 33.
933. Vat. IV. 37.

1 Φιλοξένου] Respexit credo ad illa adagia: Φιλοξένου γραμμάτιον, *Philoxeni οὐ*. Et, Ἄπαγέ με ἐς τὰς λατομίας. Apud Suidam, et Desiderium, *In lapicidinas*, Chiliad. II. Centur. 1. Adag. 31. et Chil. III. Centur. 2. Adag. 95. In Suida vero male *Tarentum Siciliæ* dixit, rectius hîc *Italiæ*. Est enim metropolis *Tarentum* in magnæ Græciæ ora. De Philoxeno plura Diodorus, Stobæus, Athenæus lib. I. Cicero lib. IV. ad Atticum epist. 6. Et de Dionysii latomiis Verrina VII. T. Livius, Plutarchus lib. II. de Fortuna Alexandri, Lucianus de mercede servientibus, et in indoctum, Lilius Giraldus Dialogo IX. Histor. Poëtarum. Scriptum autem hîc vitiose in Vaticanis membranis: ὡς Φιλόξενος αὐτῷ γράψαι μὲν οὐκ ἔγνω. Repono: ὁ Φιλόξενος, ut fere Suidas habet in Φιλοξένου γραμμάτιον, sic: Φιλόξενος ἀντιγράφειν οὐκ ἔγνω. Et α litteram scripsisse ait, quæ in compositis fere vocibus negat: ο vero noster codex diserte. Quæ prima in ου. Quam negationem hîc Diogenianus et Mich. Apostolius habet, eamdemque Lacones sæpe remisisse tyrannis auctor in Laconicis Plutarchus. SCHOTT.

χεῖον τοῦ ὃ πολλάκις ἐν αὐτῷ περιέγραψε μόνον, εἰς μικρὰ καὶ A μεγάλα τὸν τοῦ γράμματος χαρακτῆρα τυπώσας, καὶ ὅτι τὴν παράκλησιν διωθεῖται διὰ τοῦτο δηλώσας.

934 Φασηλιτῶν θῦμα: Ἐπὶ τῶν εὐτελῶν καὶ ἀναίμων λέγεται. Φασὶ γὰρ τοὺς Φασηλίτας τάριχος τοῖς θεοῖς θύειν.

935 [m]Φοινίκων συνθῆκαι: Οἱ τὴν Καρχηδόνα κτίσαντες Φοί- B νικες ὅτε προσέπλευσαν τῇ Λιβύῃ, ἐδεήθησαν τῶν ἐγχωρίων δέξασθαι αὐτοὺς νύκτα τε καὶ ἡμέραν. Ἐπιτυχόντες δὲ τούτου, οὐκ ἐβούλοντο ἀπαλλάσσεσθαι, ὡς συντιθεμένων νύκτας τε καὶ ἡμέρας μένειν αὐτούς. Λέγεται δὲ ἐπὶ τῶν πανουργευομένων καὶ πονηρῶν.

936 Φωκαέων ἀραί: Οἱ Φωκαεῖς ποτε τῆς ἑαυτῶν γῆς ἐκπεσόντες C ἐπηράσαντο μηδέποτε κατελθεῖν εἰς αὐτήν. Μέμνηται ταύτης Ἡρόδοτος ἐν τῇ πρώτῃ.

937 Φαλαρίδος ἀρχή: Ἐπὶ τῶν ὠμῶς τῇ ἐξουσίᾳ χρωμένων.

938 [n]Φαέθοντα τόκον: Ἐπιφανῆ καὶ καταπληκτικὸν τὴν πρόσοψιν. D

939 Φαλακρὸς κτένα, Εὐνοῦχος παλλακὴν, Κωφὸς αὐλητὴν, Κάτοπτρον ὁ τυφλὸς, Ὁ ἠπειρώτης κώπην, Ὁ κυβερνήτης ἄροτρον: Πάντα ὅμοια ταῦτα. Λέγεται ἐπὶ τῶν ἀχρήστως τι ἑαυτοῖς ἐμπορευομένων.

940 Χαλεπὰ τὰ καλά: Ἔνιοι τὸν χαλεπὸν ἀκούουσιν ἐπὶ τοῦ E ἀδυνάτου. Ἀδύνατον οὖν εἶναι ἐφ' ἅπαντα ἀγαθόν.

941 Χαραδραῖος λέων: Ὁ παρὰ ταῖς Χαράδραις, εἰ μὴ ἄρα τὸν Θεσπιακὸν λέγει, ὃν πρῶτον ἀνεῖλεν Ἡρακλῆς ἐν Θεσπιαῖς Χαράδραις. Χαράδρα δὲ καλεῖται ὁ τόπος.

934. Zen. VI. 36.
935. Vat. IV. 34.
m Φοινίκων] Dici solitum Suidas est auctor in insidiose paciscentes: cetera ut hîc. Addit tamen similia narrari de Metapontinis e Demone. Adhæc de cavillatione, cum Annibalis militibus Cic. I. Offic. Vide et Had. Junium Cent. I. Adag. 76. *Phœnicum commentum seu mendacium*, ex Platone lib. IV. de Repub. et Strabone lib. III. Geogr. SCHOTT.
936. Zen. VI. 35.
937. Vat. IV. 35.
938. Vat. IV. 36.
n Φαέθοντα] Corruptum arbitror locum. Suidas hîc φάων dictum proverbio ait ἐπὶ τῶν ἐρασμίων καὶ ὑπερηφανῶν. SCHOTT. Qui fallitur.
939. Vat. IV. 38.
940. Zen. VI. 38.
941. Zen. VI. 39.

942 Χάραξ τὴν ἄμπελον: Παροιμία ὅταν ἀπὸ τοῦ σώζοντος τὸ A σωζόμενον πάθῃ. Ἀναγράφει δὲ αὐτὴν κακῶς Ἀριστοφάνης,

Ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον.

943 Χαρώνιος θύρα: Μία τοῦ νομοφυλακίου θύρα, δι' ἧς οἱ κατάδικοι τὴν ἐπὶ θανάτου ἐξήγοντο.

944 Χειροβρῶτι δεσμῷ: Τοῖς πυκτικοῖς ἱμᾶσι. Διὰ τὸ τὰς B σάρκας κόπτειν καὶ ἀναλίσκειν. Βέλτιον δὲ τὸν δεσμὸν ἀκούειν, τὸν ἀποβιβρώσκοντα τὼ χεῖρε.

945 [o]Χαίρειν ἐπιστολαῖς: Ταῖς ἐπιστολαῖς τὸ χαίρειν προσετίθεσαν, ὡς καὶ Ἀριστοφάνης καὶ Σοφοκλῆς. Ἔστι δὲ καὶ ἀπαλλασσομένων προσαγόρευσις. C

946 Χῖος παραστὰς Κῷον οὐκ ἐᾷ λέγειν: Ἀπὸ ἀστραγάλων [p]παρῳδήθη ἡ παροιμία· καὶ ἐπὶ Θηραμένους, ἐπεὶ ἐδόκει Χῖος εἶναι.

947 Χορὸν [q]δίδωμι: Ἐπὶ τῶν σκώμμασι νικώντων.

948 [r]Χύτραις λημῶν ἢ κολοκύνταις: Ἐπὶ τῶν ἀμβλυωττόν-

942. Zen. VI. 40.

943. Zen. VI. 41.

944. Zen. VI. 44.

945. Vat. IV. 44.

o Χαίρειν] Annotatio potius quam adagium est. Χαίρειν Epistolis inscribi antiquitus solitum, ut εὖ πράττειν καὶ ὑγιαίνειν, auctor Aristophanis interpres ἐν Νεφέλαις v. 619. ad illa verba: πρῶτα μὲν χαίρειν Ἀθηναίοισι. Cleonem ait primum e Pylo et Spacteria Atheniensibus scribentem χαίρειν præscripsisse, quod in usum mox vertit, Platonem vero epistolis εὖ πράττειν inscripsisse. Pythagoreos ὑγιαίνειν καὶ ὑγίεια inscriptum gestasse ἐν πενταγώνῳ. Vide Lucian. De verbo inter salutandum lapso [c. 2.] Latini hinc mutuati. Hor. lib. I. ep. 8. *Celso gaudere et bene rem gerere Albinovano Musa rogata refer.* Ad quem locum varia interpretes. SCHOTT.

946. Vat. IV. 45.

p παρῳδήθη] Παρωθήκη scriptum erat in Vaticano, sed puto παρῳδικὴ verius esse, quia parodiæ formam præfert adagium: vel, quomodo sæpe occurrit ὑποθετικὴ παροιμία. Senarius autem est proverbialis, adjecta voce quæ aberat, Κῷον, e Stratidis Comici fabulis: explicatque Hadrianus Junius Cent. III. Adagio 50. SCHOTT. παρῳδήθη A.

947. Vat. IV. 46.

q δίδωμι] Χορὸν δίδωμι Suidas habet, aliterque explanat, pro, *Patior te laudare ac vincere*, &c. In Vatic. erat διδώω: equidem διδῷ tentabam, vel δίδωμι cum Suida. SCHOTT. Ita Hesych. Nihil ex Paris. a Bastio enotatum. Vid. Schol. Plat. p. 152.

948. Vat. IV. 47.

r Χύτραις] Lucianus in Timone μισανθρώπῳ [c. 2.] Λημᾷς καὶ ἀμβλυώττεις πρὸς τὰ γενόμενα. Apostolius et Suidas in Κρονικαὶ λῆμαι, *Saturniæ lemæ*, apud Erasmum Chiliad. IV. Centuria 6. Adagio 61. Vitiose

των. Δηλοῖ δὲ τὸ μεγάλαις τισὶ κολοκύνταις βλέπειν, ἤτοι λίαν A
λημᾶν.

949 Χαλκιδίζειν: Ἐπὶ τῶν γλισχρευομένων. Οἱ γὰρ ἐν Εὐβοίᾳ Χαλκιδεῖς ἐπὶ φιλαργυρίᾳ ἐκωμῳδοῦντο.

950 Χαλεπὸν χορίων κύνα γεύειν: Τὸ ἔλυτρον τοῦ ἐμβρύου χόριον καλεῖται. Οἱ δὲ κυνὲς γευσάμενοι τούτου, καὶ τοῖς ἐμ- B
βρύοις ἐπιβουλεύουσι διὰ τὸ λίχνον.

951 Χρήματα χρήματ' ἀνήρ: Αὕτη ἀποφθεγματική ἐστιν, ὡς τὰ παραγγέλματα τῶν ἑπτὰ σοφῶν. Μέμνηται ταύτης Πίνδαρος.

952 Ψύρα τὸν Διόνυσον: Ἀντὶ τοῦ εὐτελῆ. Νησίδιον γάρ ἐστι C
μικρὸν τὰ Ψυρά, μὴ δυνάμενον οἶνον ἐνεγκεῖν. Εἴρηται ἐπὶ τῶν ἐν συμποσίῳ κατακειμένων καὶ μὴ πινόντων.

953 [s] Ψωλὸν γενέσθαι δεῖ σε μέχρι τοῦ Μυρρίνου: Μέμνηται ταύτης Ἀριστοφάνης ἐν Ἱππεῦσιν, ἐλέχθη δὲ ἐπὶ τῶν μέχρι πολλοῦ διειλκυσμένων. D

954 [t] Ψυχὴ πρόμαντις: Ἐπὶ τῶν τὰ μέλλοντα προορώντων.

955 [u] Ὠσὶν ἐστῶσιν: Ἐπὶ τῶν πρὸς τὸ ἀκοῦσαί τι τὰ ὦτα εὐτρεπισμένα ἐχόντων.

956 [v] Ὥσπερ Χαλκιδικὴ τέτοκεν ἡμῖν ἡ γυνή: Ταύτης Πο-

autem hîc scriptum puto in extremo λίαν τιμᾶν, pro quo λημᾶν tentabam. SCHOTT.

949. Vat. IV. 48.

950. Suid.

951. Zen. VI. 43.

952. Suid.

953. Vat. IV. 49.

s Ψωλὸν] Aristophanis dictum explicat enarrator Græcus ἐν Ἱππεῦσι, περὶ ψωλοῦ, qui morbum etiam designat herniosum, ut hoc loco, qui ictu ruptus est. Alias pro curto, recutito, et apella seu circumciso, in Pluto ejusdem Comici, [v. 267.] ad illa: Οἶμαι δὲ νὴ τὸν οὐρανὸν, καὶ ψωλὸν αὐτὸν εἶναι. Hic Suidæ λειπόδερμος, ὀξυτόνως. Hesychio ψωλὸς ὁ ἀνεσκολυμμένος. Aristophanis Scholiastes [Eq. 960.] ἰδίως ἐπὶ τῶν μεχρὶ πολλοῦ διεσκυλμένων. Alterutro hîc quoque modo censeo emendandum, pro illo διειλκυσμένων. SCHOTT.

954. Vat. IV. 50.

t Ψυχὴ πρόμαντις] Mente vaticinamur, quæ et divinatio est, ut in prudentibus observat M. Tullius sæpenumero, et in Attici Vita Cornelius Nepos, ad quem nos olim pluribus. SCHOTT. Eurip. Andr. 1073. πρόμαντις θυμός.

955. Vat. IV. 51.

u Ὠσὶν] Terentius Andria: *Arrige aures Pamphile.* Etsi obscœne ibi Donatus. Maro I. Æneid. *Arrectisque auribus adstant.* SCHOTT.

956. Zen. VI. 50.

942 Χάραξ τὴν ἄμπελον: Παροιμία ὅταν ἀπὸ τοῦ σώζοντος τὸ A σωζόμενον πάθῃ. Ἀναγράφει δὲ αὐτὴν κακῶς Ἀριστοφάνης,

Ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον.

943 Χαρώνιος θύρα: Μία τοῦ νομοφυλακίου θύρα, δι' ἧς οἱ καταδικοι τὴν ἐπὶ θανάτου ἐξήγοντο.

944 Χειροβρῶτι δεσμῷ: Τοῖς πυκτικοῖς ἱμᾶσι. Διὰ τὸ τὰς B σάρκας κόπτειν καὶ ἀναλίσκειν. Βέλτιον δὲ τὸν δεσμὸν ἀκούειν, τὸν ἀποβιβρώσκοντα τὼ χεῖρε.

945 [o]Χαίρειν ἐπιστολαῖς: Ταῖς ἐπιστολαῖς τὸ χαίρειν προσετίθεσαν, ὡς καὶ Ἀριστοφάνης καὶ Σοφοκλῆς. Ἔστι δὲ καὶ ἀπαλλασσομένων προσαγόρευσις. C

946 Χῖος παραστὰς Κῷον οὐκ ἐᾷ λέγειν: Ἀπὸ ἀστραγάλων [p]παρῳδήθη ἡ παροιμία· καὶ ἐπὶ Θηραμένους, ἐπεὶ ἐδόκει Χῖος εἶναι.

947 Χορὸν [q]δίδωμι: Ἐπὶ τῶν σκώμμασι νικώντων.

948 [r]Χύτραις λημῶν ἢ κολοκύνταις: Ἐπὶ τῶν ἀμβλυωττόν-

942. Zen. VI. 40.
943. Zen. VI. 41.
944. Zen. VI. 44.
945. Vat. IV. 44.

[o] Χαίρειν] Annotatio potius quam adagium est. Χαίρειν Epistolis inscribi antiquitus solitum, ut εὖ πράττειν καὶ ὑγιαίνειν, auctor Aristophanis interpres ἐν Νεφέλαις v. 619. ad illa verba: πρῶτα μὲν χαίρειν Ἀθηναίοισι. Cleonem ait primum e Pylo et Spacteria Atheniensibus scribentem χαίρειν præscripsisse, quod in usum mox vertit, Platonem vero epistolis εὖ πράττειν inscripsisse. Pythagoreos ὑγιαίνειν καὶ ὑγίεια inscriptum gestasse ἐν πενταγώνῳ. Vide Lucian. De verbo inter salutandum lapso [c. 2.] Latini hinc mutuati. Hor. lib. I. ep. 8. *Celso gaudere et bene rem gerere Albinovano Musa rogata refer.* Ad quem locum varia interpretes. SCHOTT.

946. Vat. IV. 45.

[p] παρῳδήθη] Παρωθήκη scriptum erat in Vaticano, sed puto παρῳδικὴ verius esse, quia parodiæ formam præfert adagium: vel, quomodo sæpe occurrit ὑποθετικὴ παροιμία. Senarius autem est proverbialis, adjecta voce quæ aberat, Κῷον, e Stratidis Comici fabulis: explicatque Hadrianus Junius Cent. III. Adagio 50. SCHOTT. παρῳδήθη A.

947. Vat. IV. 46.

[q] διδόω] Χορὸν δίδωμι Suidas habet, aliterque explanat, pro, *Patior te laudare ac vincere*, &c. In Vatic. erat διδόω: equidem διδῷ tentabam, vel δίδωμι cum Suida. SCHOTT. Ita Hesych. Nihil ex Paris. a Bastio enotatum. Vid. Schol. Plat. p. 152.

948. Vat. IV. 47.

[r] Χύτραις] Lucianus in Timone μισανθρώπῳ [c. 2.] Λημᾷς καὶ ἀμβλυώττεις πρὸς τὰ γενόμενα. Apostolius et Suidas in Κρονικαὶ λῆμαι, *Saturniæ lemæ*, apud Erasmum Chiliad. IV. Centuria 6. Adagio 61. Vitiose

των. Δηλοῖ δὲ τὸ μεγάλαις τισὶ κολοκύνταις βλέπειν, ἤτοι λίαν λημᾶν. A

949 Χαλκιδίζειν: Ἐπὶ τῶν γλισχρευομένων. Οἱ γὰρ ἐν Εὐβοίᾳ Χαλκιδεῖς ἐπὶ φιλαργυρίᾳ ἐκωμῳδοῦντο.

950 Χαλεπὸν χορίων κύνα γεύειν: Τὸ ἔλυτρον τοῦ ἐμβρύου χόριον καλεῖται. Οἱ δὲ κυνὲς γευσάμενοι τούτου, καὶ τοῖς ἐμ- B
βρύοις ἐπιβουλεύουσι διὰ τὸ λίχνον.

951 Χρήματα χρήματ' ἀνήρ: Αὕτη ἀποφθεγματική ἐστιν, ὡς τὰ παραγγέλματα τῶν ἑπτὰ σοφῶν. Μέμνηται ταύτης Πίνδαρος.

952 Ψύρα τὸν Διόνυσον: Ἀντὶ τοῦ εὐτελῆ. Νησίδιον γάρ ἐστι C
μικρὸν τὰ Ψυρὰ, μὴ δυνάμενον οἶνον ἐνεγκεῖν. Εἴρηται ἐπὶ τῶν ἐν συμποσίῳ κατακειμένων καὶ μὴ πινόντων.

953 [s] Ψωλὸν γενέσθαι δεῖ σε μεχρὶ τοῦ μυρρίνου: Μέμνηται ταύτης Ἀριστοφάνης ἐν Ἱππεῦσιν, ἐλέχθη δὲ ἐπὶ τῶν μέχρι πολλοῦ διειλκυσμένων. D

954 [t] Ψυχὴ πρόμαντις: Ἐπὶ τῶν τὰ μέλλοντα προορώντων.

955 [u] Ὠσὶν ἑστῶσιν: Ἐπὶ τῶν πρὸς τὸ ἀκοῦσαί τι τὰ ὦτα εὐτρεπισμένα ἐχόντων.

956 [v] Ὥσπερ Χαλκιδικὴ τέτοκεν ἡμῖν ἡ γυνή: Ταύτης Πο-

autem hîc scriptum puto in extremo λίαν τιμᾶν, pro quo λημᾶν tentabam. SCHOTT.

949. Vat. IV. 48.

950. Suid.

951. Zen. VI. 43.

952. Suid.

953. Vat. IV. 49.

[s] Ψωλὸν] Aristophanis dictum explicat enarrator Græcus ἐν Ἱππεῦσι, περὶ ψωλοῦ, qui morbum etiam designat herniosum, ut hoc loco, qui ictu ruptus est. Alias pro curto, recutito, et apella seu circumciso, in Pluto ejusdem Comici, [v. 267.] ad illa: Οἶμαι δὲ νὴ τὸν οὐρανὸν, καὶ ψωλὸν αὐτὸν εἶναι. Hic Suidæ λειπόδερμος, ὀξυτόνως. Hesychio ψωλὸς ὁ ἀνεσκολυμμένος. Aristophanis Scholiastes [Eq. 960.] ἰδίως ἐπὶ τῶν μεχρὶ πολλοῦ διεσκυλμένων. Alterutro hîc quoque modo censeo emendandum, pro illo διειλκυσμένων. SCHOTT.

954. Vat. IV. 50.

[t] Ψυχὴ πρόμαντις] Mente vaticinamur, quæ et divinatio est, ut in prudentibus observat M. Tullius sæpenumero, et in Attici Vita Cornelius Nepos, ad quem nos olim pluribus. SCHOTT. Eurip. Andr. 1073. πρόμαντις θυμός.

955. Vat. IV. 51.

[u] Ὠσὶν] Terentius Andria: *Arrige aures Pamphile*. Etsi obscœne ibi Donatus. Maro I. Æneid. *Arrectisque auribus adstant*. SCHOTT.

956. Zen. VI. 50.

λύζηλος μέμνηται ἐν Μουσῶν γοναῖς, ἐπί τινος πολλὰς θυγατέρας A
ἀπογεννώσης. Ἐπειδὴ Χαλκίδα τῆς Εὐβοίας πόλιν φασί ποτε
ἀνθῆσαι φορᾷ καὶ πλήθει τετρώρων ἁρμάτων.

957 [x] Ὠγύγια κακά: Ἐπὶ τῶν ὀχληρῶν. Ἐπεὶ συνέβη Κάδμον
τὸν Ὠγύγου διὰ τὰς θυγατέρας κακοῖς περιπεσεῖν. Ἄμεινον δὲ
λέγειν ἀγύγια κακὰ τὰ παλαιά. Τοῦτο γὰρ ἡ λέξις δηλοῖ. B

958 Ὦ Λακιάδαι: Ἐπὶ τῶν μοιχῶν. Δῆμος γὰρ τῆς Ἀττικῆς
οἱ Λακιάδαι, ἐν ᾧ ῥαφανίδες πολλαὶ, αἷς ἐχρῶντο κατὰ τῶν
ληφθέντων μοιχῶν ἐνυβρίζοντες, καὶ στελεοῖς δὲ ἐχρῶντο μὴ
παρουσῶν τούτων καὶ [y] ἀναβαστοῖς.

959 Ὡς τὴν ἐν Ἄργει ἀσπίδα καθελὼν σεμνύνεται: Οἱ μὲν C
ἱερὰν φασὶν εἶναι ἐν Ἄργει ἀσπίδα καλουμένην ἐχυρὰν καὶ δυσκαθαίρετον· οἱ δὲ λόχον φασὶν εἶναι ἐν Ἄργει τῶν πάνυ ἀκμαζόντων νεανίσκων, ὃν Ἀσπίδα καλεῖσθαι.

957. Vat. IV. 52.

[x] Ὠγύγια] Suidas eadem; illud addens, Cadmum Ogygis filium, qui Ogyges primus Thebis regnavit. Hesychio etiam ὠγύγια sunt παλαιὰ, μεγάλα πολύ. SCHOTT.

958. Vat. IV. 53.

[y] ἀναβαστοῖς] Pro ἀναβαστοῖς, quod in Vatican. scriptum reperi, Suidas syllabæ unius commutatione ἀναθάστοις præfert: sed neutrum placet: tentavi, nec tamen facit satis, βασάνοις, dum quis locum εὐστοχίᾳ quadam perpurget. Ceterum de hoc supplicii genere Athenis Atticis per raphanos agit Aristoph. interpres ἐν Νεφέλαις, ad illa Comici verba [1079.] Τί δ' ἢν ῥαφανιδωθῇ γε πειθόμενος, τέφρᾳ τε τιλθῇ; et elegantissimus M. Ant. Muretus Notis ad Catullum pœnam explanat. SCHOTT.

959. Zen. VI. 52.

PROVERBIA

EX

CODICE COISLINIANO.

N. 177.

1 Αἱ Οἰδίποδος ἀραί: Ἐπὶ τῶν μεγάλως δυστυχούντων. A

2 Ἄκρον λάβε, etc. Conf. Suid. Cod. addit, πρὸς γάρ τινας τοῦ Ἀπόλλωνος ἀνελόντος πυθομένους ποῦ οἰκήσουσι, καὶ εἰπόντος, Ἄκρον λάβε καὶ μέσον ἕξεις, καὶ μὴ διανενοηκότας τὸν χρησμόν. Ἀπὸ τούτου ἐκρατήθη ἡ παροιμία.

3 Ἅλας καὶ τράπεζαν μὴ παραβαίνειν: Τὴν Θέμιν φασὶ B
χρηστηριάζουσαν, παραινεῖν ταῦτα μὴ παραβαίνειν, ἢ ὅτι ἔκειντο ἐν τῷ μαντείῳ, ἢ ὅτι τοῖς κοινωνήνασι τούτων φίλοις χρῆσθαι δεῖ.

4 Ἄλλα μαρτυρεῖ τρία, καὶ ἄλλα κλητεύει τρία: Ἐπὶ τῶν ἀγοραίων ἀνθρώπων καὶ ἑτοίμων πᾶν ὁτιοῦν ποιεῖν ἕνεκα κέρδους. C

5 Ἀκίνητα κινεῖ: Ἐπὶ τῶν μάτην πονούντων. Cf. Suid.

6 Ἁ Κορινθία γυνὴ ἔοικε χοιροπωλήσειν: Ἐπὶ τῶν καθ' ὥραν θρυπτομένων γυναικῶν, καὶ ἐκδότων εἰς μῖξιν. Πολλαὶ γὰρ ἑταῖραι ἐν Κορίνθῳ, καὶ τὸ γυναικεῖον αἰδοῖον χοῖρον ἐκάλουν.

7 Ἄκουε τοῦ τέσσαρα ὦτα ἔχοντος: Ἐπὶ τῶν ἀπειθούντων. D
Χρησμὸς γὰρ ἐδόθη Ἐντίμῳ τῷ κριτῇ (sic. Zen. Κρητὶ) καὶ Ἀντιφήμῳ φυλάξασθαι τοῦ τετραώτου· ἦν δὲ οὗτος λῃστής, οἱ δὲ ἀμελήσαντες τοῦ χρησμοῦ ἀπώλοντο. Cf. Zenob.

8 Ἄλευ δ' ἀπὸ μείζονος ἀνδρός: Οἱ Ἴωνες τὸ ἄλευ ἀντὶ τοῦ φυλάττεσθαι λέγουσι. Παρεγγυᾷ οὖν ἡ παροιμία φυλάττεσθαι E
τὰς τῶν μειζόνων συναναστροφάς.

9 Ἀληλεσμένος βίος: Ἐπὶ τῶν ἐν ἀφθονίᾳ ζώντων, μᾶλλον δὲ ἐπὶ τοῦ ἑτοίμου καὶ ἀκόπου.

10 Ἀλλότριον ἀμᾷς θέρος: Ἐπὶ τῶν κατολιγωρούντων ἐν τοῖς A
ἀλλοτρίοις, ἢ ἐπὶ τῶν τὰ ἀλλότρια καρπουμένων. Cf. Suid.

11 Ἄλλο γλαῦξ, ἄλλο κορώνη φθέγγεται: Ἐπὶ τῶν τοῖς κρείττοσιν ἐριζόντων, ἢ ἐπὶ τῶν ἄλλοις οὐ συμφωνούντων. Cf. Suid.

12 Ἀλλ' οὐκ αὖτις ἀλώπηξ: Λείπει τὸ εἰς πάγην ἁλώσεται. B
Παρ' ὅσον ἀλώπηξ πάγας φυγοῦσα δεύτερον οὐκ ἐμπίπτει.

13 Ἄλλοι μὲν σπείρουσιν, ἄλλοι δ' ἀμήσονται: Diog. ἐπὶ τῶν οὐχ ἑαυτοῖς, ἀλλ' ἑτέροις πονούντων.

14 Ἄλλος ἐχθρὸς πολέμιος, καὶ ἄλλη γυνὴ ἡ πολεμία:

15 Ἀλλ' οὐκ ἔστι συκοφάντου δήγματος: Cf. Suid. C

16 Ἀλλ' οὐδὲν δεῖ παρὰ τὸν βωμὸν βαστάζειν τὰς ἐπινοίας: Cf. Zenob. Cod. in fine, προσάγοντες μετὰ τὸ καλλιερῆσαι βουλεύονται.

17 Ἄλλως ἀναλίσκεις ὕδωρ: Cf. Suid. Cod. addit, μετήνεκται δὲ ἀπὸ τῶν ἐν τοῖς δικαστηρίοις πρὸς ὕδωρ λεγόντων. D
Πεποσωμένον γὰρ ὕδωρ ἐδίδοτο ἑκάστῳ τῶν ἀντικρινομένων ἐν τῷ λέγειν.

18 Ἄλλοτε δ' ἀλλοῖον τελέθειν καὶ χώρα ἕπεσθαι: Cf. Zenobium. Cod. in fin. πολύποδος, ὃς αἷς ἂν προσπελάσῃ πέτραις, ταύταις ἐξομοιοῦται. E

19 Ἀλλοτρία βάλλειν: Ἐπὶ τῶν ἐν τῷ κυβεύειν διαμαρτανόντων, ἢ ἐπὶ τῶν ἀμελούντων. Cf. Suid.

20 Ἄλλα μὲν ὁ Λεύκωνος ὄνος φέρει, ἄλλα δὲ Λεύκων λέγει:

21 Ἁλῶν δὲ φόρτος ἔνθεν ἦλθεν, ἔνθ' ἔβη: Cod. ἐπὶ τῶν F
καθ' ἑαυτοὺς χρωμένων τοῖς οὖσιν, ἢ ἐπὶ τῶν ἐπαναστρεφομένων ἔνθεν ἐξέβησαν· τὸ γὰρ παλαιὸν ἀγῶνος συντελουμένου γυμνικοῦ ἔν τισι τόποις τῆς Ἀττικῆς, ἅλες ἔπαθλον ἐδίδοντο· ἐπὶ τοὺς ἐπιχωρίους δὲ τοῦτο μόνον συνέβαινεν ἀγωνιζομένους, οἱ γὰρ ξένοι ἀπείργοντο, ὡσὰν μηδενὸς τῶν ἔξω μετέχοντος τῆς ἀγωνίας, πάλιν G
εἰς τὸν αὐτὸν τόπον ἀποχωρεῖ. Cf. Suid.

22 Ἅμα κνέφας, ἅμ' ὄρθρος:

23 Ἀμαλθείας κέρας: Ἐπὶ τῶν ἀφθόνως ζώντων. Ἀπὸ τῆς Ἀμαλθείας τῆς τροφοῦ (Cod. τροφός) τοῦ Διός, ἢ γάλακτι

αὐτὸν ἔτρεφεν· αὕτη δὲ αἲξ ἦν· ἢ ἀπὸ Ἀμαλθείας γυναικὸς A καπηλίδος, ἥτις πᾶσαν τὴν ἐμπολὴν κέρατι εἶχεν· εἰς ἣν χάριν πότου Ἡρακλῆς εἰσιὼν, τὸ κέρας κέκλοφεν, ἀφ' οὗ φασὶν εὐθηνήσαντα τὸν Ἡρακλέα καλῶς ζῆσαι. Cf. Suid. et alios.

24 ἌΜΑΞΑ ΤῸΝ ΒΟΫ́Ν ἝΛΚΕΙ: Ἐπὶ τῶν ἐναντίως καὶ ἢ χρὴ γινομένων. B

25 ἌΜΕΣ ΠΌΧ' ἌΜΕΣ: Παροιμία Λακωνικὴ, ἀντὶ τοῦ ἡμεῖς ποτὲ ἦμεν. Τοῦτο δὲ ἔλεγον οἱ ἐν Λακεδαίμονι χορεύοντες γέροντες. Cf. Zenob.

26 Ἃ ΜῊ ΚΑΤΈΘΟΥ, ΜῊ ἈΝΈΛΗΙ: Παρεγγυᾶται τῶν ἀλλοτρίων ἀπέχειν. C

27 ἈΜΟΥΣΌΤΕΡΟΣ ΛΙΒΗΘΡΊΩΝ: Λιβηθρίοις γὰρ οὐδέποτε μέλους ἐμέλησε, τὸν Ὀρφέως φοβηθεῖσι θάνατον.

28 ἈΜΎΝΕΙ ὩΣ ἜΟΙΚΕΝ Ἡ ΠΆΓΗ: Παρ' ὅσον καὶ ἡ δολιότης βοηθεῖ.

29 ἌΜΥΡΙΣ ΜΑΊΝΕΤΑΙ: Ἐπὶ τῶν δοκούντων μὲν μαίνεσθαι οἷς D πράττουσιν, ὄντων δὲ τῶν ἔργων καθηκόντων. Θεωρὸς, reliqua ut Suidas. Cod. προσφυγόντα ἐν τῷ ἱερῷ, etc.

30 ἈΝΑΓΥΡΆΣΙΟΣ ΔΑΊΜΩΝ: Ὅταν χαλεπή τις τύχη καὶ πονηρὰ δυστυχία κατασείσῃ πᾶσαν οἰκίαν ἀλλεπαλλήλοις δεινοῖς, ἡ παροιμία λέγεται. Φασὶ γὰρ γενέσθαι τινὰ γεωργὸν ἐν τῷ Ἀναγυ- E ρασίων δήμῳ, αἰτίαν ἔχοντα ἐξυβρίζειν εἰς τὸν πλησίον ἱδρυμένον βωμόν· διὸ συμφοραῖς τὸν ἄνθρωπον δειναῖς περιπεσεῖν· πρῶτον μὲν γὰρ ἀπέλαβε τὴν γυναῖκα, ἐξ ἧς αὐτῷ παῖς ἐγεγόνει· εἶτα τὸν υἱὸν ἐπήρωσε διαβολῇ πλαστῇ τῆς μητρυιᾶς χρησάμενος· καὶ λαβὼν αὐτὸν ἀνεβίβασεν εἰς πλοιάριον, καὶ εἰς λυπρὸν ἐξέθηκε F νησίδιον· εἶτα ὀνείδει κατεχόμενος, αὐτός τε καὶ ἡ γυνὴ κατὰ πᾶσαν τὴν πόλιν, αὐτὸς μὲν συγκλείσας ἑαυτὸν μετὰ πάντων τῶν κτημάτων ἐν τῇ οἰκίᾳ, καὶ πῦρ ὑποβαλὼν ἐκαύθη· ἡ δὲ γυνὴ εἰς φρέαρ ἑαυτὴν ἔρριψεν.

31 ἈΝΆΓΥΡΟΣ: Δῆμος τῆς Ἀττικῆς, ἔνθα ἦν βορβορώδης τόπος G κἀντεῦθεν δυσώδης, ὃς κινούμενος πολλὴν ἐποίει τὴν δυσωδίαν. Ἐντεῦθεν ἐπεκράτησε καὶ παροιμία, ΚΙΝΕΙ͂Σ ΤῸΝ ἈΝΆΓΥΡΟΝ, ἐπὶ τῶν ἑαυτοῖς ἐπικινούντων κακά. Ἔνιοι δὲ ἀπὸ ἀναγύρου λοχμώδους φυτοῦ ἀλεξικάκου ὄντος, ὃ τριβόμενον ὄζει καὶ δυσωδίαν

ἐπιφέρει τὸν τοῦτο τρίβοντα. Οἱ δὲ φασὶν ἀπὸ ἱερείας τινὸς A
τῆς Ἑκάτης, ἥτις ἐνθουσιοῦσα καὶ βακχευομένη τῇ δαίμονι,
ἠπείλει κινῆσαι αὐτῇ τὸν ἀνάγυρον· καὶ ἅμα λαμβάνουσα τοὺς ἐκ
τοῦ φυτοῦ λύγους, ἐμάστιζεν ἑαυτὴν, ὡς δῆθεν τὴν Ἑκατὴν ἐκ
τούτου λυποῦσα· καὶ ἡ παροιμία ἐπεκράτησεν ἐπὶ τῶν ἑαυτοῖς
ἐπιφερόντων κακά. B

32 Ἀνδρί αταδῶι πρ. οὐκ ἦν, etc. v. Suid. Cod. addit, παρ' ὅσον Κροῖσος ἑαυτῷ πολέμιον ἐπεσπάσατο Κῦρον.

33 Ἀνθ' Ἑρμίονος: Ἐπὶ τῶν ὁμοίως ἱερῷ σωζομένων. Ἑρμίων γὰρ ἐν Πελοποννήσῳ, etc. etc. Cf. Suid.

34 Ἀντ' ἰσχάδος: Ἐπὶ τῶν μηδενὸς ἀξίων, παρ' ὅσον εὐτελέστα- C
τον ἡ ἰσχάς.

35 Ἄνω ποταμῶν χωροῦσι πηγαί: Cf. Suid. Cod. ἡ λεγομένων, οἷον εἰ ὁ πόρνος τὸν σώφρονα λέγοιτο πόρνον, ἐπειδὴ οἱ ποταμοὶ ἄνωθεν κάτω ῥέουσιν, καὶ αἱ πηγαὶ τῶν ποταμῶν οὐκ ἄνω
τρέχουσιν, ἀλλ' ἐπὶ τὸ κάτω χωροῦσιν. D

36 Ἄξιος ὀβελίσκου καὶ ἀπὸ ὀβελίσκου: Ἀπὸ τῶν ἰχθυδίων. Καὶ ἄξιος τοῦ παντὸς, ἐπὶ τῶν σφόδρα τιμίων. Cf. Suid. p. 416 C.

37 Ἁπαλοὶ θερμολουσίαις: Ἀντὶ τοῦ τρυφηλοὶ καὶ τὴν σάρκα
διαρρέοντες. E

38 Ἀπὸ βραδυσκελῶν ὄνων ἵππους ὁρῶσιν: Ἐπὶ τῶν ἀπὸ εὐτελῶν εἰς μείζονα μεταπηδώντων. Cf. Suid.

39 Ἀπ' ὄνου καταπεσών: Ἐπὶ τῶν μηδ' ὄνοις δυναμένων, οὐχ ὅπως ἵπποις χρῆσθαι, ἢ ἐπὶ τῶν ἀχάλινον ἔχοντων στόμα, καὶ
ἀπὸ γλώσσης πιπτόντων, ἐπεὶ ὁ ὄνος ἀχάλινος, καὶ πολλοὶ διὰ F
τοῦτο ἐξ αὐτοῦ πίπτουσιν· οὕτω Πλάτων. Cf. Suid.

40 Ἀράβιος αὐλητής: Τίθεται ἐπὶ τῶν ἀπαυστὶ λεγόντων. Οἱ γὰρ Ἀράβιοι κατὰ συσκηνείαν καὶ συγγένειαν τὰς φυλακὰς ἐποιοῦντο· καὶ ὁ τεταγμένος φυλάττειν, σπιθαμιαῖον αὐλὸν ἔχων τῷ
μήκει, δι' ὅλης ᾖδε τῆς νυκτὸς μέλος ἔντονον, τὴν παῦσιν τοῦ G
μέλους οὐκ ἀγαθὸν τιθεμένοις σημεῖον. Ἀπὸ τούτου ἐλήφθη ἡ παροιμία, ἣν μεταλλάξας Μένανδρος, "Ἀράβιόν φησιν ἐξεύρηκα σύμβουλον," καὶ "Ἀράβιον ἐγὼ κεκίνηκ' ἄγγελον": οἱ δέ φασιν, τὸ παλαιὸν μὴ μανθάνειν αὐλεῖν διὰ τὸ βάναυσον, τῶν δὲ ἀνδρα-

ποδῶν τὰ πολλὰ εἶναι βάρβαρα καὶ Ἀράβια· τούτους αὐλῷ ᾄδοντας A
μόλις καταπαύειν. Ἐφ' ὧν ἐλέχθη παροιμία,

Δραχμῆς μὲν αὐλεῖ, τεττάρων δὲ παύεται.

41 Ἄριστα χωλὸς ὑφεῖ: Ἐπὶ τῶν τὰ οἰκεῖα κακὰ μᾶλλον αἱρουμένων ἢ τὰ ἀλλότρια ἀγαθά. Τῶν γὰρ Σκυθῶν ποτὲ ταῖς Ἀμαζόσι πολεμούντων, καὶ ἀνοχῆς γενομένης, τά τε ἄλλα φιλο- B
φρονουμένων καὶ φασκόντων αὐταῖς, ὅτι εἰ τούτοις πεισθεῖεν, ἀπηρώτοις συνέσονται ἀνδράσιν, ἀλλ' οὐχὶ λελωβημένοις καὶ χωλοῖς καὶ ἀχρείοις ὡς οἱ παρ' αὐταῖς, Ἀντιάνειρα ἡ τούτων ἡγουμένη θρασεῖα ἅμα καὶ ἀκόλαστος οὖσα, εἶπε πρὸς αὐτοὺς, "ἄριστα χωλὸς ὑφεῖ," ἤγουν συνουσιάζει. Αἱ γὰρ Ἀμαζόνες, τῶν τικτομένων C
παρ' αὐταῖς ἀρρένων, ἐπήρουν τὰ σκέλη, ἢ τὰς δεξιὰς χεῖρας, δῆλον οὖν ὅτι χωλοῖς ἀνδράσιν ἐχρῶντο. Cf. Suid.

42 Ἀφαιρεῖν κροκύδας: Ἐπὶ τῶν πάντα ποιούντων ἕνεκεν κολακείας, ἢ οὗτος ἀφαιρεῖται καὶ κροκύδας, ἐπὶ τῶν διὰ κολακείας μέχρι καὶ τῶν σμικροτάτων καταγινομένων αἰτεῖν. D

43 Βάβτος χορός: Ἐπὶ τῶν ἀτακτότερον καὶ ἀφυέστερον τῆς μουσικῆς χρωμένων.

44 Βάλλ' ἐς κόρακας: Τουτέστιν, ἄπιθι εἰς ἀπώλειαν, διότι τὸ ζῶον χαίρει περὶ τὰ πτώματα, καὶ διὰ τὸ ἐν τραχέσι τόποις τὰς νοσσιὰς ποιεῖν. E

45 Βάλλ' ἐς μακαρίαν: Ἐπὶ τῶν ἑαυτοὺς εἰς κίνδυνον κατ' ἀρετὴν διδόντων. Μακαρία γὰρ ἡ Ἡρακλέους, ὁπηνίκα ἐπεστράτευσεν ὁ Εὐρυσθεὺς ταῖς Ἀθήναις, ἑαυτὴν ἐπέδωκε σφάγιον ὑπὲρ τῆς τῶν λοιπῶν σωτηρίας. Τούτου γενομένου, τῶν Ἀθηναίων ἕκαστος θαυμάζων τῆς κόρης τὴν ἀρετὴν, ὁ μὲν στεφάνους ἐπι- F
βάλλων, ὁ δὲ ἄνθη ῥίπτων, ἐπεφώνει, "βάλλ' ἐς μακαρίαν." Οἱ δὲ κατ' εὐφημισμὸν τὸ μακαρία, ἐστὶ γὰρ ἀντὶ τοῦ ἐν ᾅδου, ἐν θανάτῳ· ἐπεὶ χωρίον ἔφασκον ἐν ᾅδου, μακαρίαν κατ' εὐφημισμὸν καλούμενον· τὸ δ' αὐτὸ τοῦτο καὶ ἐς μακαρίαν λέγουσι καὶ εἰς μακαρίαν. G

46 Βάσανος λίθος: Παροιμία, ἐπὶ τῶν καλῶς ἐξεταζόντων καὶ τὸ ζητούμενον φανερούντων.

47 Βάτα Κάρας: Ἐπὶ τῶν παχέων καὶ δυνατῶν, ἢ ἐπὶ τῶν ἀναισθήτων. Εἴρηται δὲ ἀπὸ ἐπιγραφῆς οὔσης ἐν Σάμῳ ἐν τῷ Ἡραίῳ,

καταπλανησάσης ὑπ' ἀγνοίας τοὺς ἀναγνόντας, ἐπέγραφον γὰρ A
πατρόθεν προτάσσοντες τὸν πατέρα· καὶ ἔστι τὸ μὲν Βάτα γενικὴ πτῶσις, τὸ δὲ Κάρας ὀρθὴ, ἵνα ᾖ, Κάρας ὁ Βάτα υἱὸς, ἤγουν ὁ υἱὸς τοῦ Βάτα, ὑφ' ἓν δὲ ἐξενεχθὲν ἐπλάνησε πολλούς. Ὅθεν καί φασιν ἐπὶ τῶν ἀναισθήτων εἰρῆσθαι τὴν παροιμίαν.

48 Βατήρ: Ἡ ἀρχὴ τοῦ τῶν πεντάθλων ἀγῶνος, ἀπὸ τούτου δὲ B
λέγεται καὶ παντὸς ἔργου καὶ λόγου τὸ πρῶτον καὶ κυριώτατον, ὡς τὸ, Αὐτὸν κέκρουκας τὸν βατῆρα τοῦ λόγου, ἤγουν τὸ ἐπικαιρότατον καὶ πρῶτον.

49 Βάττου σίλφιον: Ἐπὶ τῶν μεγάλων καὶ πολυτελῶν. Οἱ
γὰρ Κυρηναῖοι τὸ σίλφιον μέγα τι καὶ ἐξαίρετον ἔχοντες, ἔδοσαν C
Βάττῳ, καὶ οὐχ ἐξῆν ἄλλῳ κεκτῆσθαι, ἐχάραττον δὲ καὶ ἐπὶ μὲν τοῦ ἑνὸς μέρους τοῦ νομίσματος τὸν Ἄμμωνα, ἐπὶ δὲ τοῦ ἑτέρου τὸ σίλφιον, ὡς μέγα· τὸ δὲ σίλφιον βοτανόν ἐστι θεραπευτικὸν, ἡδύοσμον καὶ πολύτιμον.

50 Βδελύττομαι τὸν λεπρὸν ἀπὸ Μελανθίου: Ὁ Μελάνθιος D
λέπραν εἶχε. Λέγει γοῦν ἰδὼν τὸν Μελάνθιον οἷόν ἐστι κακὸν, βδελύττομαι τὸν λεπρόν. Λήψῃ δὲ τὸν λόγον ἐπὶ τῶν ὁμοίων κακῶν.

51 Βίον μεμαγμένον: Ἐπὶ τῶν εὐδαιμόνων καὶ ἀπόνως χρω-
μένων τῇ τοῦ βίου πολυτελείᾳ. E

52 Βότρυς πρὸς βότρυν πεπαίνεται: Ἐπὶ τῶν ἐξισοῦσθαι φιλονεικούντων.

53 Βουλήσεται τὶς μᾶλλον ἢ δυνήσεται: Ἐπὶ τῶν προαιρουμένων μὲν, οὐ δυναμένων δέ.

54 Βουλίας δικάζει: Ἐπὶ τῶν τὰς κρίσεις ὑπερτιθεμένων ἀεὶ F
δικαστῶν. Τοιοῦτος γὰρ ὁ Βουλίας κριτὴς ὤν.

55 Βοῦς ἐνάλιος: Ἐπὶ τῶν μηδὲν χρησιμευόντων.

56 Βοῦς ἐν αὐλίῳ κάθῃ: Παροιμία ἐπὶ τῶν ἀχρήστων.

57 Βοῦς ὁ Μολοττῶν: Ἐπὶ τῶν εἰς πολλὰ διαιρουμένων καὶ
κατακοπτομένων πράγματα. Οἱ γὰρ Μολοττοὶ, ἐπειδὰν ὅρκια G
ποιῶνται, βοῦς παραστησάμενοι καὶ κώθωνας οἴνου πλήρεις, τὸν μὲν βοῦν κατακόπτοντες εἰς μικρὰ, ἐπαρῶνται τοῖς παραβησομένοις οὕτως κατακοπῆναι· τοὺς δὲ κώθωνας ἐκχέοντες, οὕτως ἐκχυθῆναι τὸ αἷμα τῶν παραβησομένων.

58 **Βοῦς ἐπὶ φάτνην**: *Ἐπὶ τῶν ἐπὶ τὰ συνήθη καὶ ἥδιστα* A
ἀφικνουμένων.

59 **Βοῦς ἐν πόλει**: *Ἐπὶ τῶν παραδόξων καὶ θαυμαζομένων. Λυσανίας δὲ εἶπε βοῦς ἐν ἀκροπόλει.*

60 **Βούτην Νίκων ἔγραψεν**: B. 224. ubi *Μήκων*. Cod. *πίνακα γάρ ποτε γράψας ὁ Νίκων*, etc. B

61 **Βύας**: *Εἶδος ὀρνέου νυκτερινοῦ, "καὶ βύας ὤφθη," "καὶ βύαι ὤφθησαν" ἀντὶ τοῦ συμφοραί, προμηνύει γὰρ τὸ ὄρνεον κακά.*

62 **Βύβλος**: *Νῆσος.* **Βύβλινον τοὐμὸν μέθυ**: *παροιμία πρὸς τοὺς διαφθείραντας τινὰ ἔργα.*

63 **Βώλοις ἄρουραν**: *Ἐπὶ τῶν τοῖς μεγάλοις τὰ μικρὰ προσ-* C
φιλοτιμουμένων, ὅμοιον εἴ τις θαλάττῃ ἐκ χαράδρας ὕδωρ ἐπεισάγοι, καὶ χαρίζεσθαι δοκοίη.

64 **Γαλῇ χιτών**: *Ἐπὶ τῶν ἀπρεπῶν, ὁμοία τῇ* οὐ πρέπει γαλῇ κροκωτόν. *Τὸ δὲ* ἀπέδυ τὸν κροκωτὸν ἡ γαλῆ, *ἐπὶ τῶν ἀφεμένων καὶ ἀνακαλυψάντων ἅπερ πρότερον ὑπεκρίνοντο·* D
φασὶ γὰρ οἱ μυθολόγοι, γαλῆν κροκωτῷ κοσμηθεῖσαν καὶ καλλωπιζομένην τῷ ἐνδύματι, καὶ μετὰ σεμνότητος καὶ αἰδοῦς προσισταμένην, εὐθὺς ταῦτα ἀπορρίψαι, καὶ πρὸς μῦν ἐκδραμεῖν ἀναφανέντα.

65 **Γαλῆν ἔχεις**: *Ἐπὶ τῶν ἀποτευκτικῶν, παρ' ὅσον οἱ γαλῆν* E
ἔχοντες, οὐκ ἐπιτυχεῖς. Cf. Diogen. III. 84. ubi *ἀποτρεπτικῶν.*

66 **Γαλῇ στέαρ**: *Πρὸς τοὺς οἷς χαίρουσι ταῦτα λαμβάνοντας, λείπει δὲ τὸ* ἔσχε.

67 **Γαλλιστὶ τεμεῖν** (sic): Cf. B. 280. Cod. *ἢ ἀπὸ τοῦ πο-* F
ταμοῦ Γάλλου ἡσύχως ῥέοντος.

68 **Γελλοῦς παιδοφιλωτέρα**: *Ἐπὶ τῶν φιλοτέκνων μέν, τρυφῇ δὲ διαφθειρόντων αὐτά. Γελλὼ γάρ τις ἦν παρθένος, ἥτις ἐν τῷ τίκτειν ἐτελεύτησε, καὶ ἐπειδὴ ἀώρως ἐτελεύτησε, ἔφασαν οἱ Λέσβιοι αὐτῆς τὸ φάντασμα ἐπιφοιτᾶν ἐπὶ τὰ παιδία, καὶ τοὺς* G
τῶν ἀώρων θανάτους αὐτῇ ἀνετίθεσαν. Μέμνηται ταύτης Σαπφώ. etc.

69 **Γελοιότερον ἀπεργάζῃ—Φειδίου τέχνη**: Suid. p. 803 A.

Cod. addit, Φειδίας γὰρ ἄριστος ζωγράφος, Μυρμηκίδης δὲ A
κάκιστος.

70 ΓΕΛΟΙΌΤΕΡΟΝ ΜΕΛΙΤΊΔΟΥ : Suid. p. 803 B. in fine ἐξ ὁποτέρου γονέων ἐτέχθη. Cod. addit ἐκ πατρὸς ἢ μητρός.

71 ΓΈΛΩΣ ΜΕΓΑΡΙΚΌΣ : Suid. p. 802 D. Cod. ἤκμασεν ἡ μεγ. κωμ. ἀώρως, ἣν ἀθ. κ. ἐγέλων. Cf. B. 285. B

72 ΓΈΛΩΣ ΣΥΓΚΡΟΤΟΎΣΙΟΣ : Suid. p. 803 A. ὁ ἄτακτος καὶ ἄκοσμος.

73 ΓΈΡΑΝΟΙ ΛΊΘΟΥΣ ΦΈΡΟΥΣΙΝ : Suid. p. 811 A. Cod. πότερον ἐπὶ γῆς ἢ θαλάττης φέρονται.

74 ΓΈΡΩΝ ΒΟΥ͂Σ ἈΠΈΝΘΗΤΟΣ ΔΌΜΟΙΣΙΝ : Ἐπὶ τῶν τελευτώντων C
καὶ λύπην μὴ παρεχόντων. Suid. p. 813 A.

75 ΓΈΡΩΝ Ὁ ΒΟΥ͂Σ, ΤᾺ Δ' ἜΡΓΑ ΠΟΛΛᾺ ΤΩ͂Ι ΒΟΪ́ : Ἐπὶ τῶν γεγηρακότων μὲν καὶ μηδὲν χρησιμευόντων, ἀξίων δὲ τιμῆς, διὰ τὰ πρότερον αὐτῶν ἔργα.

76 ΓΈΡΩΝ ἘΡΙΝῸΣ ΕΥ̓ΦΡΑΊΝΕΙ ΤΟῪΣ ΓΕΊΤΟΝΑΣ : Πρὸς τοὺς μὴ D
δυναμένους χρῆσθαι τοῖς ἰδίοις ἀγαθοῖς· ὁ δὲ λόγος ἐπὶ γεγαμηκότος γέροντος.

77 ΓΗ͂Σ ἜΝΤΕΡΑ : Ἐπὶ τῶν μηδενὸς ἀξίων· τὰ γὰρ τῆς γῆς ἔντερα σκωλήκων εἶδός ἐστι φαυλοτάτων.

78 ΓΛΑΥ͂Ξ ΕἸΣ ἈΘΉΝΑΣ : Ἐπὶ τῶν μάτην ἐπισωρευόντων τινὰ, E
εἰς ἀφθονίαν προυπαρχόντων, καὶ ἀλυσιτελεῖς ἐμπορείας ποιούντων, ἐπειδὴ τὸ ζῶον τοῦτο σφόδρα ἐπιχωριάζει ταῖς Ἀθήναις.

79 ΓΛΑΥ͂Ξ ἽΠΤΑΤΑΙ : Ἐπὶ τῶν ἀγαθῶν οἰωνῶν. Ἡ πτῆσις γὰρ τῆς γλαυκὸς εἰς νίκης σύμβολον ἐλογίζετο. F

80 ΓΛΑΎΚΟΥ ΤΈΧΝΗ : Ἐπὶ τῶν εὐμηχάνων καὶ ῥᾳδίως κατεργαζομένων, ἀπὸ Γλαύκου τινὸς Σαμίου, ὃς πρῶτος σιδήρου κόλλησιν εὗρε, καὶ ἄλλα πολλὰ εὐμέθοδα ἐτεχνάσατο. Suid. p. 823 A.

81 ΓΛΥΚῪ ΜΈΛΙ ΚΑῚ ΠΝΙΞΆΤΩ : Τέρπανδρος γὰρ σῦκα ἐσθίων G
ἐπνίγη· ἢ γλυκὺ ἤτω.

82 ΓΛΥΚῪΣ ἈΓΚΩ͂Ν : Παροιμία ἐπὶ τῶν εὐθυμούντων, ὡς εἴτις εἴποι, ὦ γλυκὺς πῆχυς, παρ' ὅσον οἱ εὐφραινόμενοι καὶ ἐρῶντες τὸν

ἀγκῶνα τιθέασιν· ἐναντία δὲ ταύτης τό· "ψυχρὸν παραγκάλισμα." A
Λέγεται καὶ γλυκὺς ἀγκὼν ὁ πικρὸς κατ' εὐφημισμὸν ἀπὸ τόπου
ἀγκῶνος καλουμένου περὶ τὸν Νεῖλον γλυκέος, δυσχεροῦς ὄντος.
Suid. p. 829.

83 ΓΛΥΚΥ͂Σ ἈΠΕΙ͂ΡΩΙ ΠΌΛΕΜΟΣ: Ἐπὶ τῶν ὑπ' ἀπειρίας ἑαυτοὺς
καθιέντων εἰς πόλεμον καὶ εἰς τὰ ἐπικίνδυνα. Λέγεται καὶ οὕτως· B
"γλυκὺς πόλεμος ἀπειράτοις." Suid. p. 829.

84 ΓΛΩ͂ΣΣΑ ΠΟΙ͂ ΠΟΡΕΎΗι: Ἀπόκρισις· ΠΌΛΙΝ ἈΝΟΡΘΟΥ͂ΣΑ ΚΑῚ
ΠΌΛΙΝ ΚΑΤΑΣΤΡΈΦΟΥΣΑ, ἐπὶ τῶν διὰ λόγων ἢ ὠφελούντων ἢ
βλαπτόντων. Suid. p. 825.

85 ΓΛΏΤΤΗΣ Δ' ἜΝΕΣΤΙ ΚΑῚ ΠΑΡ' ΑΥ̓ΛΗΤΑΙ͂Σ ΨΌΦΟΣ: Ὅτι καὶ οἱ C
τυχόντες εἰπεῖν τι καὶ πράττειν δύνανται. B. 296.

86 ΓΌΝΥ ΚΝΉΜΗΣ ἜΓΓΙΟΝ: Ἐπὶ τῶν ἑαυτοὺς μᾶλλον ἢ ἑτέρους
ἀγαπώντων, ἔνιοι δὲ ἐπὶ τῶν ὀφειλόντων παρέχειν μᾶλλον προσ-
ήκουσιν ἢ τοῖς ξένοις· ὁμοιά· καὶ ΤΩ͂Ν ΦΊΛΩΝ ΤΟΥ͂Σ ΦΙΛΤΆΤΟΥΣ,
καὶ ΤΩ͂Ν ΟἸΚΕΊΩΝ ΤΟΥ͂Σ ΟἸΚΕΙΟΤΈΡΟΥΣ. Suid. p. 836. D

87 ΓΡΑΦῊ ΤΕ ΚΑῚ ΛΕΥΚΑΙ͂ΟΣ ΟΥ̓ ΤΑΥΤΌΝ: Ἐπὶ τῶν ἀνόμοια γρα-
φόντων. Τὸν γὰρ Λευκαῖον γραφῇ τις ποιήσας ἀνόμοιον ἐποίησε.
Δύναται δὲ καὶ ἑτέρως ἀκούεσθαι, ὅτι οὐχὶ αὐτὴ φύσις γραφῆς,
καὶ αὐτοῦ τοῦ γραφομένου σώματος.

88 ΓΎΗΣ ΟΥ̓Κ ἜΝΕΣΤ' ἘΝ ΤΟΎΤΩι, etc. Suid. p. 851. E

89 ΓΥΜΝΌΤΕΡΟΣ ΛΕΒΗΡΊΔΟΣ: Ἐπὶ τῶν πάνυ πενήτων· λεβηρὶς
γὰρ τὸ σύφαρ καὶ ἡ ἐκδυμία τοῦ ὄφεως, καὶ τοῦ τέττιγος,
κυρίως δὲ λεβηρὶς ᾧ περιέχεται τὸ ἔμβρυον τοῦ βοός. Λέ-
γεται δὲ παρά τισι "γυμνότερος ἰαλέμου," ἐπὶ τῶν πάνυ οἰκτρῶν,
οἱ δὲ λέγουσι "κενότερος λεβηρίδος," οἱ δὲ "τυφλότερος," ἄλλοι F
δὲ "γυμνότερος ὑπέρου." Suid. p. 854 C.

90 ΓΥΜΝῸΣ ὩΣ ἘΚ ΜΗΤΡΌΣ: Ἐπὶ τῶν ἀπόρων.

91 ΓΥΜΝΩ͂ι ΦΥΛΑΚῊΝ ἘΠΙΤΆΤΤΕΙΣ: Ἐπὶ τῶν μὴ δεομένων προσ-
τάξεως διὰ τὸ ἐξ ἀνάγκης αὐτοὺς καὶ χωρὶς ἐπικελεύσεως τοῦτο
πράττειν ἀναγκάζεσθαι· οἱ γὰρ ἐν Ἀργινούσαις ἡττηθέντες Λακε- G
δαιμόνιοι καὶ γυμνοὶ καὶ ἄποροι φυγόντες, Ἐτεονίκου παρακελευο-
μένου αὐτοῖς φυλακὰς ἔχειν, ἵνα μὴ λάθωσιν αὐτοῖς ἐξαίφνης
ἐπιπεσόντες Ἀθηναῖοι, ἀπεκρίναντο· ὅτι δεῖ τοὺς γυμνοὺς ἐξ ἀνάγ-
κης ἀγρυπνεῖν διὰ τὸ ῥίγος.

92 ΓΥΝΑΙΚῸΣ ΠΥΓΉ: Ἐπὶ τῶν ἀργῶς καθημένων, παρ' ὅσον αἱ A
γυναῖκες οἴκοι κάθηνται· ἢ ὅτι χρὴ τὰς γυναῖκας οἴκοι μένειν.
Suid. p. 856.

93 ΓΥΝΑΙΚῚ ΜῊ ΠΙΣΤΕΥΕ, ΜΗΔ' ἊΝ ἈΠΟΘΆΝΗΙ: Ὅτι μὴ δεῖ
γυναικὶ πιστεύειν.

94 ΓΥΝῊ ΣΤΡΑΤΗΓΕῖ Ἢ ΣΤΡΑΤΕΎΕΤΑΙ: Ἐπὶ τῶν παραδόξων. B

95 ΓΥΝῊ ΕἸΣ ἩΡΑΚΛΈΟΥΣ Οὐ ΦΟΙΤᾷ: Πρὸς τοὺς ἀναξίους τινῶν
πράξεων, π. ἡρ. ἑδ. ὀμφ. Suid. p. 856.

96 ΔΑΙΔΆΛΟΥ ΠΟΙΉΜΑΤΑ: Ἐπὶ τῶν ἀκριβῶς τὰ τεχνάσματα
ποιούντων· ἀπὸ Δαιδάλου τινὸς μηχανοποιοῦ σοφοῦ. Suid. p.
874. C

97 ΔΑΙΔΆΛΟΥ ΠΤΕΡΆ: Ἐπὶ τῶν δι' ἀπορίαν προσθήκῃ χρωμένων
παρελκούσῃ. Suid. p. 874.

98 ΔΕΙΛΌΤΕΡΟΣ ΤΟῦ ΠΑΡΑΚΎΠΤΟΝΤΟΣ: Suid. p. 900 D. Cod.
ἀνὴρ γάρ τις οὕτως ἐγένετο δειλὸς, ὡς παρακύψας, etc.

99 ΔΕΙΝῆΣ ἈΝΆΓΚΗΣ ΟὐΔῈΝ ἸΣΧΥΡΌΤΕΡΟΝ: Ἐπὶ τῶν δι' ἀνάγκην D
καὶ τὰ παρὰ φύσιν ἢ μὴ καθήκοντα ποιούντων. καὶ ἄλλη· ΔΕΙΝᾺ
ΤᾺ ΔΕΙΝᾺ, ἐπὶ τῶν σφόδρα δεινῶν· καὶ ἕτεροι οὕτως· ΔΕΙΝᾺ ΤᾺ
ΔΕΙΝᾺ ΚΑῚ ΔΕΙΝΌΤΕΡΑ ΤῶΝ ΔΕΙΝΊΟΥ. Suid. p. 903.

100 ΛΎΚΟΥ ΔΕΚΆΣ: Παρ. ἐποιήθη δὲ ἐντεῦθεν. Λύκος μέν ἐστιν
ἥρως, μορφὴν ἔχων θηρίου· πρὸς δὲ τοῖς ἐν Ἀθήναις ἀνεστήλω- E
ται δικαστηρίοις, πρὸς ὃν οἱ δωροδοκοῦντες γινόμενοι κατὰ δέκα
ἀνεστρέφοντο ἔνθα καὶ ἔνθα. Suid. p. 882 B.

101 ΔΈΚΑ ΤΟῦ ὈΒΟΛΟῦ: Ἐπὶ τῶν μηδενὸς ἀξίων, ἐπειδὴ τὰ δέκα
τοῦ ὀβολοῦ πιπρασκόμενα πάνυ ἐστὶν εὐτελῆ.

102 ΔΈΚΑ Ἢ ΚΎΩΝ ΤΈΚΟΙ ΚΑῚ ΠΆΝΤΑ ΛΕΥΚΆ: Ἐπὶ τῶν ἐπι- F
τυχῶν.

103 ΔΕΛΦῸΣ ἈΝΉΡ, etc.: Suid. p. 887. Cod. inf. οὐ καταλ-
λάσσουσιν.

104 ΔΕΛΦῖΝΑ ΝΉΧ. ΔΙΔΆΣΚΕΙΣ: Ἐπὶ τῶν ἐν ἐκείνοις τινὰ παιδο-
τριβούντων ἐν οἷς ἤσκηται. Suid. p. 887. G

105 ΔΕΛΦΙΚῊ ΜΆΧΑΙΡΑ: Ἐπὶ τῶν φιλοκερδῶν καὶ ἀπὸ παντὸς
λαμβάνειν προαιρουμένων· παρ' ὅσον οἱ Δελφοὶ τὸ μέν τι τῶν ἱε-
ρείων ἐλάμβανον, τὸ δέ τι ὑπὲρ τῆς μαχαίρας ἐπράττοντο.

106 ΔΕΛΦΟῖΣΙ ΘΎΣΑΣ ΑὐΤῸΣ Οὐ ΦΑΓΕῖ ΚΡΈΑΣ: Ἐπὶ τῶν πολλὰ

μὲν δαπανώντων, μηδενὸς δὲ ἀπολαυόντων. Παρ' ὅσον τοὺς ἐν Δελ- A
φοῖς θύοντας συνέβαινε διὰ τὸ πλῆθος τῶν ἑστιωμένων αὐτοὺς μη-
δενὸς γενέσθαι.

107 ΔΕΣΜΟῚ ΤΥΡΡΗΝΟΊ: V. Suid. p. 895. *κακουχίας*. Cod.
addit, λέγεται δὲ ἐπὶ τῶν δεσμευθέντων ἀφύκτως.

108 ΔΙᾺ ΦΡΑΤΌΡΩΝ ΚΎΩΝ: Ἐπὶ τῶν ὅπου μὴ δεῖ εὑρισκομένων, B
καὶ διὰ τοῦτο κολαζομένων, παρ' ὅσον κύων εὑρεθεὶς ἐν φράτορσιν
ἐμαστιγοῦτο.

109 ΔΊΚΗΝ ὙΦΈΞΕΙ, ΚἊΝ ὌΝΟΣ ΔΆΚΝΗΙ ΚΎΝΑ: Ἐπὶ τῶν μικρὰ
πταιόντων καὶ ἀξίων κολάζεσθαι.

110 ΔΟΊΔΥΚΟΣ ΣΚΙΆ: Ἐπὶ τῶν μηδενός. C

111 ΔΟΊΔΥΞ ΑὖΞΕΙ: Ἐπὶ τῶν ἀναυξήτων.

112 ΔΌΡΥ ΚΑῚ ΚΗΡΎΚΙΟΝ: Ἐπὶ τῶν ἅμα παρακαλούντων καὶ ἀπ-
ειλούντων. Γεφυραῖοι ὑπ' Ἀθηναίων πεμφθέντες εἰς Δελφοὺς ἐπὶ
τῷ λαβεῖν χρησμὸν, ἐν τῷ ὑποστρέφειν ἔμαθον Ἀθηναίους ὑπὸ
Εὐμόλπου πολεμουμένους, καὶ φοβηθέντες, οἱ μὲν πρεσβύτεροι D
ἔλαβον κηρύκεια προηγούμενοι· οἱ δὲ νέοι καθωπλισμένοι εἵποντο.
Cf. Suid.

113 ΔΟΥΛΌΤΕΡΟΣ ΜΕΣΣΉΝΗΣ: Ἐπὶ τῶν πικρᾷ δουλείᾳ ἐνεχομένων.
Cf. Zenob. III. 39.

114 ΔΟῦΛΕ ΔΕΣΠΟΤῶΝ ἌΚΟΥΕ ΚΑῚ ΔΊΚΑΙΑ ΚΑῚ ἌΔΙΚΑ: Ἐπὶ τῶν E
ἀπειθῶν δούλων. Οἱ δὲ οὕτως αὐτὴν λέγουσι· Κρεισσόνων γὰρ
καὶ δίκαια καὶ ἄδικα ἔστ' ἀκούειν.

115 ΔΟῦΛΟΝ ΟὐΚ ἌΓΩ ΕἸ ΜῊ ΝΕΝΑΥΜΆΧΗΚΕ ΠΕΡῚ ΤῶΝ ΚΡΕῶΝ:
Εἴρηται ἡ παροιμία ἀπὸ τῶν στρατευομένων δούλων, οἳ περὶ τοῦ
σώματος μάχονται, μὴ οὐσίαν ἔχοντες, μηδὲ γένη. Οἱ δέ φασιν F
"εἰ μὴ νεναυμάχηκε περὶ τῶν νεκρῶν," καί φασιν ἐκ τῶν ἐν Ἀρ-
γεννούσαις ναυμαχησάντων δούλων ὑπὲρ τῶν νεκρῶν, οἷς ἐλευθερίαν
ἐψηφίσαντο Ἀθηναῖοι.

116 ΔΩΔΩΝΑῖΟΝ ΧΑΛΚΕῖΟΝ: Ἐπὶ τῶν ἀκαταπαύστως λαλούντων·
ἐν Δωδώνῃ γὰρ λέβητες παράλληλοι ἔκειντο· ὧν εἴ τις ἑνὸς G
ἥψατο, πάντας συνέβαινεν ἠχεῖν. Ἀριστοτέλης δὲ δύο φησὶ
στύλους εἶναι, καὶ ἐπὶ μὲν τοῦ ἑνὸς λέβητα, ἐπὶ δὲ θατέρου παῖδα
κρατοῦντα μάστιγα, ἧς τοὺς ἱμάντας χαλκέους ὄντας σειομένους
ὑπ' ἀνέμου, τῷ λέβητι προσκρούειν, τὸν δὲ τυπτόμενον, ἠχεῖν.

117 Δῶρα θεοὺς πείθει καὶ αἰδοίους βασιλῆας: V. Suid. A
Cod. addit, ὅμοιον τό· δῶρα καὶ σοφοὺς (superscr. γρ. θεοὺς) παρήπαφεν.

118 Δῶρον δ' ὅ τι δῷς ἐπαίνει: Ἐπὶ τῶν τὰ μὲν διδόμενα λαμβανόντων, ἄλλα δέ τινα αἰτούντων. Zen. III. 42.

119 Ἔαρος χρῄζει, ἐπειδὴ παλαιὸν χιτῶνα ἔχει: Ἐπὶ τῶν B
τὰ πρόσφορα θελόντων. Cf. Suid. p. 1126.

120 Ἑαυτῷ νουμηνίας κηρύττει: Ἐπὶ τῶν βουλομένων αὐτοῖς τὶ ἀγαθὸν γενέσθαι ἀταλαιπώρως, ἤτοι ἐπὶ τῶν ἀνέσεις ἑαυτοῖς πορίζοντων.

121 Ἐγγύᾳ πάρα δ' ἄτα: Πάρεστι φησὶ τῇ ἐγγύῃ ἄτη καὶ βλάβη. C

122 Ἐγένοντο καὶ φίλοι ἐχθροί: Ἐπὶ τῶν εὐμεταβόλων, ἢ ἐπὶ τῶν ἐνδεχομένων γενέσθαι.

123 Ἐγώ τοι πάντα ποιήσω θέρος: Ἐπὶ τῶν ἀγαθὰ ὑπισχνουμένων δώσειν.

124 Ἐγὼ ποιήσω πάντα κατὰ Νικόστρατον: Ἐπὶ τῶν ὀρθῶς D
πάντα ποιούντων. Ἦν γὰρ ὁ Νικόστρατος ὑποκριτὴς τραγικὸς ἄριστος, καὶ μάλιστα ἐν ταῖς τῶν ἀγγέλων ἐπαγγελίαις· ὅθεν καί τινες εἶπον· "ἐγώ τοι φράσω πάντα κατὰ Νικόστρατον."

125 Ἔθυσας ἀντιθύσῃ: Ἐπὶ τῶν οἷς ἔδρασαν ὅμοια πασχόντων.

126 Εἰ καὶ λίθον εἶχες: Λείπει τὸ ἔβαλες, ἐπὶ τῶν προχείρως E
ὀνειδιζόντων.

127 Εἰκῆ τῷ Ἡρακλεῖ: Ἐπὶ τῶν ἀλήπτως τὰ πράγματα ἐπιτελούντων.

128 Εἰκῆ τὴν Ἄβυδον: .... ἐπὶ τῶν μάτην τι φυλαττόντων· παρ' ὅσον ἐκεῖ ῥᾳδίως αἱ γυναῖκες πρὸς τὴν τῶν ἀνδρῶν ὁμιλίαν F
καταφυλαττόμεναι ἐξάγονται.

129 Εἰ μὴ δύναιο βοῦν ἔλαυνε δ' ὄνον: Ἐπὶ τοῦ ἐργάζεσθαι τὰ κατὰ δύναμιν.

130 Εἰ μὴ πατὴρ ἦσθα: Λείπει τό· "εἶπον ἂν σὲ οὐκ εὖ φρονεῖν."

131 Εἰ μὴ ταχέως ἀπολοίμεθα, οὐκ ἂν ἐσώθημεν: Ἐπὶ τῶν G
διὰ φόβον μικρῶν εἰς μείζονα κακὰ ἑκουσίως πιπτόντων, ὡς οἱ κρημνιζόμενοι.

132 Εἰ πάθοι τάγ' ἔρεξε, δίκη δ' ἰθεῖα γένοιτο: Ἐπὶ τῶν ἀντιδιδόντων τιμωρίαν, ἐφ' οἷς ἔπραξαν.

133 Εἰπὼν ἃ θέλεις, ἀντάκουε ἃ μὴ θέλεις: Ἐπὶ τῶν ἀκου- A
όντων κακὰ, εἰπόντων τοιαῦτα.

134 Εἴπερ ἐκ πεύκης κἀγὼ ἐκ ξύλων ἐπηγνύμην: Εἴπερ δηλαδὴ ἐξ ἀνθρώπων καὶ ἐγὼ ἄνθρωπός εἰμι· ἡ προσωποποιΐα δὲ ὡς ἀπὸ νηῶν μικρῶν πρὸς μεγάλας.

135 Εἴποις τὰ τρία: Cf. Suid. Cod. addit, τὸ δὲ νῦν ἀρχεῖον B
καλούμενον, αὐλὴ ἐκαλεῖτο.

136 Εἰς ἀρχαίας φάτνας ἦλθεν: Ἐπὶ τῶν εἰς τὴν ἀρχαίαν ἐλθόντων δίαιταν ἐξ εὐδαιμονίας. Cf. Suid.

137 Εἰς βόλον ἐλθεῖν: Ἐπὶ τῶν εἰς καιρὸν ἐπί τι ἀφικνουμέ-
νων, ἐκ μεταφορᾶς τῶν ἰχθύων. C

138 Εἰς ἴχνια κυνῶν: Ἐπὶ κατάρᾳ τίθεται.

139 Εἰσὶ καὶ κυνῶν ἐριννύες: Παρεγγυᾷ μηδὲ τῶν μικρῶν καταφρονεῖν.

140 Εἰς κόλπον πτύειν: Ἐπὶ τῶν βασκαινομένων. Θεόκριτος.
Εἰς κόπρον θυμιᾷς, ἐπὶ τῶν τὰ κακὰ μεταβαλεῖν ἐπιχειρούντων. D

141 Εἰς Κυνόσαργες: Conf. Suid. . . Cod. ὠνόμασται δὲ οὕτως ἀπὸ κυνὸς ἀργοῦ, τουτέστι λευκοῦ. Λέγεται γὰρ ὅτι τῷ Ἡρακλεῖ θύοντι ἁρπάσαι κύνα λευκὸν ἢ ταχὺν κρέας τῶν θυομένων καὶ φαγεῖν, καὶ διὰ τοῦτο κολαζόμενον καὶ μὴ ἐώμενον, ἐλθεῖν
τὸν Ἡρακλῆ εἰς τὸ χρηστήριον, τὸν δὲ, ἀνέδωκε τὸ μαντεῖον, ἐς E
Κυνόσαργες ἐλθεῖν καὶ κτίσαι ναὸν, ἤτοι ἔνθα ὁ ἀργὸς καὶ λευκὸς ἐκεῖνος κύων ἢ ὁ ταχὺς τὸ κρέας ἁρπάσας κατέθετο, ἐπὶ τούτῳ πολλὰ παθεῖν τὸν Ἡρακλέα τὸν τόπον εὑρεῖν, καὶ τὴν παροιμίαν ἐκτεθεῖναι (sic). Ἐξ οὗ καὶ τοὺς νόθους ἐκεῖ συντελεῖν, ὅτι καὶ
Ἡρακλῆς νόθος ὢν, ἴσα θεοῖς ἐτιμήθη. F

142 Εἰς κόρακας: Εἰς φθορὰν, εἰς ἀπώλειαν, λείπει τὸ ἄπιθι· διότι τὸ ζῶον χαίρει περὶ τὰ πτώματα, καὶ διὰ τὸ ἐν τραχέσι τόποις τὰς νοσσιὰς ποιεῖν καὶ κρημνώδεσιν.

143 Εἰς Κέσκον: Λείπει τὸ ἄπιθι· λέγεται δὲ ἐπὶ τῶν μὴ φρο-
νούντων. Κέσκος γὰρ πόλις ἐστὶ τῆς Πισιδίας, ὡς δὲ ἔνιοι Κιλι- G
κίας, παρ' ἣν ῥεῖ ποταμὸς, ὄνομα Νοῦς.

144 Εἰς Κορυβάντιον: Ἐπὶ τῶν καθαρῶν καὶ ἔξω αἰτίας, ἐπείπερ οἱ εἰς Κορυβάντων εἰσιόντες παναγεῖς εἰσιν.

145 Εἰς ΚΥΝΟΣ ΠΥΓΗΝ ΒΛΕΠΕΙ, ΚΑΙ ΤΡΙΩΝ ΑΛΩΠΕΚΩΝ: Ἐπὶ τῶν A
ὀφθαλμιώντων καὶ αἰσχρῶν.

146 Εἰς ΛΑΤΟΜΙΑΣ: Παροιμία, ἐπὶ τῶν προκρινόντων τοὺς χείρο-
νας τόπους ἢ τοὺς καλοὺς οἰκεῖν, ἐπὶ τῷ ἐκφυγεῖν κακά· ὅτι Φι-
λόξενος ὁ διθυραμβοποιὸς μὴ ἀνεχόμενος τῶν Διονυσίου τοῦ τυ-
ράννου ποιημάτων ὡς φαύλων, εἰς λατομίας ἦλθε, φαυλότατον B
χωρίον.

147 Εἰς ΜΑΣΣΑΛΙΑΝ ΠΛΕΥΣΕΙΑΣ: Ἐπὶ κατάρας, παρ' ὅσον εἰς
μαλακίαν οἱ Μασσαλιῶται διεβάλλοντο· ἢ ὅτι οἱ Μασσαλιῶται
εἰς πόλεμον ἐξιόντες κοσμοῦνται ὡς γυναῖκες.

148 Εἰς ΟΥΡΑΝΟΝ ΤΟΞΕΥΕΙΣ: Ἐπὶ τῶν εἰς μεγάλους ἐπαιρομένων. C

149 Εἰς ὄΝΟΥ ΠΟΚΟΥΣ: Πρὸς τοὺς εἰς τὰ ἀδύνατα ἀναβαλλομέ-
νους, παρ' ὅσον ἀπὸ ὄνου πόκοι οὐ γίνονται· οἱ δὲ ἐπὶ κατάρας τοῦτο
λέγουσιν· ἤτοι ἄπιθι εἰς ὄνου πόκους, ἤγουν ἔνθα οἱ ὄνοι σήπονται,
καὶ τὰ αὐτῶν ἔρια ὡς πόκοι γίνονται.

150 Εἴ ΣΟΙ ΜΥΣΟΝ ἩΔΙΟΝ ΚΑΛΕΙΝ: Μῦσος τὶς μυσὸς ἐβούλετο κα- D
λεῖσθαι· ἀπὸ τούτου ἡ παροιμία, ἐπὶ τῶν μὴ τὰ οἰκεῖα ἀλλὰ τὰ
ἐπίθετα προτιμώντων.

151 Εἰς ΠΥΡ ΞΑΙΝΕΙΝ: Ἐπὶ τῶν καθ' ἑαυτῶν τὶ ποιούντων ἢ λε-
γόντων, ἢ ἐπὶ τῶν μάτην πονούντων.

152 Εἰς ΤΕΦΡΑΝ ΓΡΑΦΕΙΝ: Ἐπὶ τῶν ἀδυνάτων καὶ ἀνηνύτων. E

153 Εἰς ΤΟ ΔΕΟΝ ἈΠΩΛΕΣΕΝ: Ἐπὶ τῶν κλεπτόντων μὲν τὰ πι-
στευθέντα, προφασιζομένων δὲ εἰς τὸ δέον ἀνηλωκέναι. Περικλῆς
γὰρ ὁ στρατηγὸς τῶν Ἀθηναίων κωμῳδεῖται, ὡς ἐν τοῖς λογισμοῖς
τῶν κοινῶν χρημάτων μετὰ τῶν ἄλλων ἐν τοῖς γραμματίοις
ἔγραψεν ἀνηλωκέναι εἰς τὸ δέον χρήματα τόσα, κλέψας καὶ ἰδιο- F
ποιησάμενος αὐτά· καὶ τὴν κλοπὴν κρύπτων διὰ τῆς εἰς τὸ δέον
λέξεως. Ἔοικε δὲ ὡς οὐκ ἐπὶ κλοπῇ τοῦτο ὁ Περικλῆς πεποίη-
κεν, ἀλλὰ τὸν ἄρχοντα τῶν Λακεδαιμονίων χρήμασι δελεάσας ἐπὶ
τῷ μὴ δῃῶσαι τὴν χώραν, ὡς ἀπόρρητον ὂν τοῦτο, οὐκ ἀναγράφων·
ἔφερε γὰρ αἰσχύνην τοῖς Ἀθηναίοις, καὶ τῷ καλῶς πρὸς αὐτοὺς G
διατεθέντι ἄρχοντι ὄνειδος· κεκαλυμμένως οὕτω καὶ ἀδήλως ἔθετο,
ἀνήλωσα εἰς τὸ δέον δέκα πέντε τάλαντα, ἤγουν εἰς τὸ κοινῇ
συμφέρον.

154 Εἰς τὸν ἀγρὸν ἀποβλέπει: Ἐπὶ τῶν ἄνεσιν ζητούντων καὶ A ἀμελῶν. Οἱ γὰρ πολεμούμενοι κ. τ. λ. Cf. Suid. p. 1627.

155 Εἰς τετρημένον πίθον ἀντλεῖν: Ἐπὶ τῶν ἀκαταπαύστως πονούντων· ἐμυθεύοντο γὰρ Ἕλληνες τοὺς ἀσεβεῖς ἐν ᾅδου εἰς τετρημένον πίθον ἀντλεῖν, ἢ ἐπὶ τῶν μάτην πονούντων.

156 Εἰς Τροφωνίου μεμάντευται: Suid. p. 1627. ἐπὶ τ. σκ. B καὶ ἀγελ. τοὺς γὰρ καταβαίνοντας εἰς τὸ Τροφωνίου μαντεῖον μαντεύσασθαι λέγεται τὸν ἑξῆς χρόνον ἀγελάστους διαμεμενηκέναι. Τὸν δὲ Τροφ. . . . ἀγαπίδους—αὐγαίου etc.

157 Εἰς τὸν Ἡροδότου σκιάν: Ἐπὶ τῶν μὴ τελεσιουργούντων ἃ προείλοντο. Φασὶ γὰρ Ἡρόδοτον τὸν λογογράφον Ὀλυμπιάσι C δεῖξαι βουληθέντα τὴν ἑαυτοῦ ἱστορίαν, ἀναβάλλεσθαι ἡμέραν ἐξ ἡμέρας, φάσκοντα σκιᾶς εἰ ἐπιλάβοιτο ἐν τῷ τεμένει τοῦ Ὀλυμπίου, δείξειν τὴν ἱστορίαν· ἐστὶ γὰρ δεινῶς προσήλιον τὸ χωρίον· ἔλαθεν οὖν αὐτὸν διαλυθεῖσα ἡ πανήγυρις οὐκ ἐπιδειξάμενον τὰς ἱστορίας. D

158 Εἰς τὴν ἀμίδα ἀπουρεῖν: Ἐπὶ τῶν εἰς τοὺς ἀξίους ὑβριζόντων.

159 Εἰς τὴν πυγὴν ἐνερρύηκε ἡ σοφία: Ἐπὶ τῶν μηδὲν χρηστὸν λεγόντων ἢ φρονούντων.

160 Εἴ τις ἐν Αἰγύπτῳ: Cf. Suid. Cod. λείπει, οὐ φρονεῖ, ἤ τι E ἄλλο τοιοῦτον· λέγεται γὰρ ἐπὶ τῶν κομιζόντων πρός τινας ἃ κέκτηνται, καὶ ὅμοιόν ἐστι τῷ· γλ. ἀθ.

161 Εἴ τι κακὸν εἰς Πύρραν: Ἐπὶ κατάρας τάττεται. Τὸ γὰρ παλαιὸν οἱ ὅμοροι πρὸς τοὺς Πυρραίους δυσμενῶς ἔχοντες, ὅτε τι κακὸν αὐτοῖς συνέπιπτεν ἀποτροπιασμοῦ χάριν ἔλεγον, ὡς δεῖ F τοῦτο πρὸς Πυρραίους τραπῆναι.

162 Ἕκαστος τὸν ἑαυτοῦ ὀβελίσκον τρέφει: Ἐπὶ τῶν φροντίδα τῶν οἰκείων ποιουμένων.

163 Ἐκ βορβόρου φιλολογεῖς: Ἐπὶ τῶν ὠφελείας πειρωμένων λαμβάνειν, οὐκ ἐκ δικαίων. G

164 Ἐκκέκοφθ' ἡ μουσική: Ἐπὶ τῶν παθόντων τὶ ἐφ' οἷς ηὐτύχουν.

165 Ἐκ κοινοῦ πλείστη χάρις δαπάνη τ' ὀλιγίστη: Ἐπὶ τῶν ἐρανιζόντων.

166 Ἐκ ΜΗΤΡῸΣ ΑΥ̓ΛΕΙ̃Σ: Ἐπὶ τῶν εἰς μήτερα ἁμαρτανόντων, ἢ A
εἰς οἰκεῖόν τινα, ἢ ἐπὶ τοῦ κατὰ ζῆλον τὶ ποιοῦντος.

167 Ἑκὼν ἈΈΚΟΝΤΊ ΓΕ ΘΥΜΩ̃Ι: Ἐπὶ τῶν κατ᾽ ἀνάγκην ποιούντων τί.

168 Ἐκ ΠΑΝΤῸΣ ΞΎΛΟΥ ΚΑΠΝΌΣ: Παρ᾽ ὅσον καὶ ὁ νάρθηξ, καὶ εἰ μὴ ξύλον εἶναι δοκεῖ, κάπνον ἀπεργάζεται. Καὶ ἄλλη· ἐκ παν- B
τὸς ξύλου κύφων γένοιτ᾽ ἄν· ἐπὶ τῶν ἐκ τοῦ ἰδεῖν μὲν εὐπεριφρονήτων, εἰς χρείας δὲ ἀναγκαίας πιπτόντων. Καὶ ἄλλη· ἐκ παντὸς ξύλου κλῳὸς γένοιτ᾽ ἂν καὶ θεός. Οἱ Δωριεῖς τὸν κύφωνα κλῳὸν λέγουσι. Λέγει γοῦν ἡ παροιμία, ἐκ τοῦ αὐτοῦ δύναται γενέσθαι καὶ καλὸν καὶ κακὸν, καὶ μέγα καὶ μικρὸν, καὶ C
ἐξ ἑνὸς πατρὸς υἱοὶ ἀνόμοιοι, δειλὸς καὶ ἀνδρεῖος.

169 Ἐκ ΠΑΝΤῸΣ ΠΡΌΦΑΣΙΣ: Ἐπὶ τῶν προφάσεως οὐκ ἀπορούντων.

170 ἘΚΠΟΤΈΟΝ ΤῊΝ ΤΟΎΤΟΥ: Ἐπὶ τῶν ἐξ ἀνάγκης τὰ ἑτέρων κακὰ ὑπομενόντων.

171 Ἐκ ΠΌΝΤΟΥ ΚΌΝΙΝ ΚΥΛΙΝΔΕΙ̃Σ: Ἤτοι ἐπὶ τοῦ ἀδυνάτου, ἢ D
ἐπὶ τοῦ ἰσχυροῦ καὶ δυνατοῦ.

172 ἘΚΠΟΤΈΟΝ ΚΑῚ ΤῊΝ ΤΡΎΓΑ: Ἐπὶ τῶν καὶ τὰ μὴ χρηστὰ λαμβανόντων· Φερεκράτης.

173 Ἔκ ΤΕ ΦΈΡΕΙ ΓΕΝΈΗ Τ᾽ ἈΓΑΘῊ ΚΑῚ ΠΑΤΡῚΣ ἌΡΟΥΡΑ: Εἴρηται ἐκ τοῦ Αἰθίοπος, ὃς οὐκ ἐβούλετο συνευνάζεσθαι τῇ τοῦ δεσπότου E
γυναικὶ, ὅμως δὲ ἀναγκασθεὶς ἔπραξε, καὶ ἀπέτεκεν ἡ γυνὴ ὅμοιον τῷ Αἰθίοπι· ἀγανακτῶν οὖν ὁ ἀνὴρ ἐπὶ τῷ γενομένῳ, ἐξεφώνησε τὸ προκείμενον, καὶ παρήχθη εἰς παροιμίαν.

174 Ἐκ ΤΗ̃Σ ΠΛΗΡΕΣΤΆΤΗΣ ΕἸΣ ΤῊΝ ΚΕΝΟΤΈΡΑΝ: Χρὴ μεταλαγχάνειν τοὺς οὐκ ἔχοντας παρὰ τῶν ἐχόντων. Πλάτων. (Sym- F
pos. p. 175 D.)

175 Ἐκ ΤΗ̃Σ ΑΥ̓ΤΗ̃Σ ΨΙΆΘΟΥ ΓΕΓΟΝΏΣ: Ἐπὶ τῶν παραπλησίων καὶ ὁμοίων.

176 Ἕκτη ἩΜΈΡΑ: Ἐπὶ τῶν ἀγαθῶν ἡμερῶν. Ἐν ταύτῃ γὰρ μυθεύεται τοὺς θεοὺς νενικηκέναι τοὺς γίγαντας. G

177 Ἐκ ΤΟΥ̃ ΓᾺΡ ΕἸΣΟΡΑ̃Ν ΓΊΝΕΤ᾽ ἈΝΘΡΏΠΟΙΣ ΤῸ ἘΡΑ̃Ν:

178 Ἐκ ΤΟΥ̃ ΒΟῸΣ Ἡ ΜΆΣΤΙΞ: Ἐπὶ τῶν καθ᾽ ἑαυτῶν πραγματευομένων.

179 Ἐκ ΤΩ̃Ν ΠΕΡΙΤΤΩ̃Ν ΚΑῚ ἽΠΠΟΙ ἘΜΠΊΠΛΑΝΤΑΙ:

180 Ἐμοὶ μελήσει ταῦτα καὶ λευκαῖς κόραις: Τῶν Δελφῶν A
φοβουμένων Ἰάσωνα τὸν Θετταλῆς τύραννον μετὰ τὴν ἐν Λεύκτροις μάχην, μήποτε τὸ ἱερὸν ἐλθὼν διαρπάσῃ, καὶ πυνθανομένων τοῦ Ἀπόλλωνος, εἶπεν· ἐμοὶ μ. τ. κ. λ. κορ., κόρας ἴσως λέγων Ἀθηνᾶν καὶ Ἄρτεμιν.

181 Ἐμοῦ θανόντος γαῖα μιχθήτω πυρί: Ὅτι οὐ δεῖ περὶ B
τῶν μελλόντων φροντίζειν ἢ δεδιέναι.

182 Ἐν ἀοῖ τὰ σπουδαῖα: Ἐπὶ τῶν προδιαφθειρομένων διὰ τὸ ῥαθύμως ἔχειν πρὸς τὰς πράξεις. Λακεδαιμονίων γὰρ τὰς Θήβας φρουρᾷ κατασχόντων, καί τινος πρὸς Ἀρχίαν κομίσαντος ἐπιστολὴν τινὸς μηνύουσαν ἐπιβουλὴν, ὑπερθέσθαι φασὶν τὴν ἐπιστολὴν ἀνα- C
γνῶναι, νυκτὸς οὔσης· καὶ εἰπεῖν "ἐν ἀοῖ τὰ σπουδαῖα," ἀντὶ τοῦ εἰς ἡμέραν περὶ τῶν σπουδαίων διαληπτέον. Νυκτὸς δὲ τῆς ἐπιβουλῆς τελεσθείσης, αὐτὸν ἀναιρεθῆναι.

183 Ἓν ἀνθ' ἑνός: Ἐπὶ τῶν ποιούντων κακῶς ἀνθ' ὧν ἔπαθον.

184 Ἐν γῇ πένεσθαι μᾶλλον ἢ πλουτοῦντα πλεῖν: (Suid.) D
Ὅτι τὸ κρεῖσσον τὸ ἐν ἀσφαλείᾳ ὀλίγον, τοῦ μετὰ κινδύνου ἢ φόβου μείζονος.

185 Ἐν διχοστασίῃ καὶ Ἀνδροκλέης πολεμαρχεῖ: Suid. ἐπὶ τῶν δι' ἔνδειαν εἰς χρῆσιν ἐρχομένων ἀχρήστων.

186 Ἔνθα ἂν οἱ πόδες φέρωσιν, ἐκεῖσ' ἄπιμεν: Ἐπὶ τῶν E
ἀπεγνωκότων καὶ ὡς ἔτυχέ τι ποιούντων.

187 Ἐν Καρὸς μοίρᾳ: Ἤγουν ἐν δούλου τάξει. Κᾶρες δὲ ἔθνος εὐτελὲς, αἰχμαλωτιζόμενον ἀεὶ καὶ δουλούμενον, ἐξ οὗ καὶ οἱ δοῦλοι Κᾶρες ἐλέγοντο.

188 Ἐν μύρτου κλαδὶ τὸ ξίφος κρατήσω: Cf. Suid. Cod. F
διὰ τὸ ἀνύποπτον καὶ τοῦ ὀμνύειν. Ἁρμόδιος γὰρ καὶ Ἀριστογείτων κτεῖναι θέλοντες Ἵππαρχον τὸν τύραννον, ἐν μύρτοις τὸ ξίφος ῥίψαντες, τὸν φόνον εἰργάσαντο.

189 Ἐν παντὶ μύθῳ καὶ τὸ Πέρδικος σκέλος: Ἐπὶ τῶν κατὰ ἀπορίαν λόγου παρελκούσῃ χρωμένων τῇ προσθήκῃ. Πέρδιξ G
γὰρ ἦν τις Ἀθήνῃσι χωλὸς κάπηλος, οὗ διαβεβοημένου Ἡγεμὼν ὁ Θάσιος ὁπότε παρῳδῶν ἀπορήσειε, προσετίθει "καὶ τὸ Πέρδικος σκέλος."

190 Ἐν πυθίῳ χέσαι, ἢ ἐν πυθίῳ ἀποπατῆσαι: Πεισίστρα-

τος τὸν ἐν Πυθίᾳ ναὸν οἰκοδομῶν, τῶν μισούντων αὐτὸν διὰ τὴν A
τυραννίδα προσαποπατούντων ἐκεῖ καὶ προσουρούντων, προσέγραψε
λέγων· ἑαυτὸν αἰτιάσεται ὁ ἔτι προσασχημονήσας· καταφρονου-
μένου δὲ τοῦ γράμματος, καταλαβὼν μέτοικον ἐπὶ πολλὰς ἡμέρας
μαστιγώσας πρὸ τοῦ τεμένους ἀνεῖλεν. Ἐλήφθη δὲ ἡ παροιμία
ἐπὶ τῶν τιμωρίας μεγάλας ὑφισταμένων καὶ κακοπαθούντων. Cf. B
B. 407. et Suid.

191 ἘΝ ΤΡΙΌΔΩΙ ΕἸΜῚ ΛΟΓΙΣΜΟΥ͂: Ἐπὶ τῶν πολλοῖς λογισμοῖς συνειλημμένων καὶ ἀμφιβόλων.

192 ἘΞΆΝΤΗΣ ΛΕΎΣΩ ΤΟΥ͂ΜῸΝ ΚΑΚῸΝ ἌΛΛΟΝ ἜΧΟΝΤΑ: Πλά-
των ἐν Φαίδρῳ. Λέγεται δὲ τοῦτο καὶ ὡς παροιμία ἐπὶ τῶν τοῖς C
ὁμοίοις ἐνεχομένων. Cf. Suid.

193 ἘΞ ἈΞΊΟΥ ΤΟΥ͂ ΞΎΛΟΥ ΚἊΝ ἈΠΆΓΞΑΣΘΑΙ: Δεῖ ἐκ καλοῦ παθεῖν τὰ δεινά, ἢ ἐκ κακοῦ.

194 ἘΞ ἙΝῸΣ ΤᾺ ΠΆΝΘ' ὉΡΑ͂Ν: Suid. Cod. ἐπὶ τῶν ἐξ ἑνὸς
πολλὰ καταλαμβανόντων. D

195 ἘΞ ἙΝῸΣ ΠΗΛΟΥ͂: Ἐκ τοῦ ὁμοίου καὶ παραπλησίου, ὁμοίᾳ τῇ, "ἐκ τῆς αὐτῆς κεραμίας."

196 ἘΞΗΚΕΣΤΊΔΗΣ ΕἸΣ ὉΔΌΝ: Παροιμία. Οὗτος εὐμήχανος ὁδοὺς
ἐφευρίσκειν καὶ μὴ πλανᾶσθαι ὁδοιπορῶν, ὅθεν ἡ παροιμία ἐπὶ τῶν
τὰς ὁδοὺς ἀκριβῶς εἰδότων. Suid. E

197 ἘΞ ὈΝΎΧΩΝ ΤῸΝ ΛΈΟΝΤΑ: Ἐκ μικροῦ τὸ μέγα.

198 ἜΞΩ ΓΛΑΥ͂ΚΕΣ: Suid. Cod. παροιμία ἐπὶ ἐαρινοῦ καιροῦ· οἱ γὰρ γλαῦκες χειμῶνα σημαίνουσιν οἱ θαλάττιοι.

199 ἜΞΩ ΠΗΛΟΥ͂ ΤῸΝ ΠΌΔΑ ἜΧΕΙ: Ἐπὶ τοῦ ἀκινδύνου.

200 ἜΟΙΚΑ ΒΟΥ͂Σ ἘΠῚ ΣΦΑΓῊΝ ΜΟΛΕΙ͂Ν: F

201 ἘΟΊΚΑΣΙ ΤΟΙ͂Σ ἘΚ ΠΎΛΟΥ ΛΗΦΘΕΙ͂ΣΙ ΤΟΙ͂Σ ΛΑΚΩΝΙΚΟΙ͂Σ:
Παροιμία ἐπὶ τῶν ὠχριώντων καὶ ἰσχνῶν. Πύλος δὲ χωρίον τῆς
Λακωνικῆς, ἔνθα Κλέων στρατηγήσας τοὺς αἰχμαλώτους ἀπὸ
Σφακτηρίας ἔλαβεν, οἱ ἀπὸ τοῦ τῆς αἰχμαλωσίας φόβου, καὶ
τῆς πολυημέρου πολιορκίας, καὶ τῆς τῶν ἐπιτηδείων πρὸς τροφὴν G
στερήσεως, ἰσχνοὶ καὶ ὠχροὶ ἦσαν καὶ δυσειδεῖς.

202 ἜΟΙΚΑ ΤΩ͂Ι ΤΟΥ͂Σ ἍΛΑΣ ΚΑῚ ΤῸ ἜΛΟΣ ΠΡΙΑΜΈΝΩΙ: Ἐπὶ τῶν ἀμηγέπη δυοῖν ὄντοιν διὰ θατέρου βλαπτομένων. Ἀντίκεινται γὰρ ἀλλήλοις τὰ κτήματα, καὶ οὐδενὶ τῶν κεκτημένων λυσιτελεῖ

ἑκάτερον· εἰ μὲν γάρ τις καρποῖτο ἐκ τοῦ ἕλους, οἱ ἅλες διατή- A
κοιντο· εἰ δὲ ἔμπαλιν ἡλίῳ ὁ τόπος ἐκδίδοτο, ἐκ μὲν τῶν ἁλῶν
πολὺ ἂν καρποῖτο, ἐκ δὲ θατέρου βλάπτοιτο τοῦ ἕλους αὐαινομένου.

203 ἙΟΡΤῆΣ ΚΑΤΌΠΙΝ ἩΔΎΣΜΑΤΑ ΦΈΡΕΙ: Ἐπὶ τῶν ὑστεριζόντων.

204 ἙΟΡΤῊ ΠΌΔΑΣ ἜΧΟΥΣΑ: Ἐπὶ τῶν ἅπαντα πρὸς τὴν ἑορτὴν
ἀχθοφορούντων· ἵνα γὰρ μηδενὸς φ" ὑστερῶσιν ἅμασις (sic), σκεύη, B
ἱερὰ, ἱμάτια, οἶνον, ἄρτους, ξύλα παραρτώμενοι ἐβάδιζον, ὥστε
τοὺς βλέποντας ἐπιφωνεῖν, ἑορτὴ πόδας ἔχουσα. Cf. Suid.

205 Ἐπ' ἈΜΦΌΤΕΡΑ ΚΑΘΕΎΔΕΙ ΤᾺ ὮΤΑ: Ἐπὶ τῶν ἔξω φροντίδος.

206 ἜΠΕΣΘΕ ΜΗΤΡῚ ΧΟῖΡΟΙ: Ἐπὶ τῶν κολακευτικῶς τισὶν ἑπο-
μένων τροφῆς ἕνεκα. C

207 Ἐπὶ ΒΎΡΣΗΣ ΚΆΘΗΤΑΙ: Conf. Suid. ὁ βεβαιότατος. Cod.
addit, λέγεται γοῦν ἡ παροιμία ἐπὶ τῶν βοηθείας ἀξίων.

208 Ἐπὶ ΚΝΆΦΟΥ ἝΛΚΕΙΣ: Ἀντὶ τοῦ διαφθείρεις etc. B. 425.
et Suid.

209 ἘΠΙΜΕΝΊΔΕΙΟΣ ὝΠΝΟΣ: Ἐπὶ τῶν λίαν ὑπνηλῶν· ἓξ γὰρ οὗτος D
ἐκάθευδε. Λέγεται δὲ καὶ ἘΠΙΜΕΝΊΔΕΙΟΝ ΔΈΡΜΑ, ἐπὶ τῶν γηραιῶν·
ἔζησε γὰρ οὗτος ἔτη ρν̄.

210 Ἐπὶ ΞΥΡΟῦ ἝΣΤΗΚΕΝ: Ἐπὶ κινδύνου, ἐν αὐτῇ τῇ τοῦ πράγ-
ματος ἐπιτάσει.

211 Ἐπὶ ΤᾺ ΜΑΝΔΡΟΒΟΎΛΟΥ: Suid. Cod. γεωφάνιον εὑρόντος, E
καὶ ἐξ αὐτοῦ πλουτήσαντος, καὶ τῷ μὲν πρώτῳ ἔτει χρυσ. κριὸν
θύσαντος τῇ Ἥρᾳ, τῷ δὲ δ. ἀργ. τῷ τρ. χαλκοῦν, εἶτα οὐδέν.

212 ἜΠΟΣ ΠΡῸΣ ἜΠΟΣ ἨΡΕΙΔΌΜΕΘΑ: Τουτέστιν ἀντεβάλλομεν,
ἐφιλονεικοῦμεν.

213 ἙΣΤΊΑΙ ΘΎΟΜΕΝ: Ἐπὶ τῶν μὴ διδόντων ἀφ' ὧν θύουσιν. Οἱ F
γὰρ παλαιοὶ, ὅτε τῇ Ἑστίᾳ ἔθυον, οὐδενὶ μετεδίδοσαν τῆς θυσίας.

214 Ἐστὶ ΚΑῚ ΔΟΎΛΩΝ ΠΌΛΙΣ: Ἐπὶ τῶν πονηρῶς πολιτευομένων.
Μνασέας γὰρ γράφει εἶναι δούλων πόλιν ἐν Λιβύῃ.

215 ἜΣΧΑΤΟΣ ΜΥΣῶΝ ΠΛΕῖΝ: Ἐπὶ τῶν πορρωτάτω που κατοι-
κούντων. Τήλεφος γὰρ ἀποκτείνας τοὺς τῆς μητρὸς ἀδελφοὺς, νέος G
ὢν, ἔφυγεν ἐκ Τεγέας, χρόνῳ δὲ ὕστερον μὴ γνωρίζων ὧν ἐστιν
ἦλθεν ἐρησόμενος τὸν θεὸν τίνων εἴη γεγεννημένος. Ἡ δὲ Πυθία
ἐκέλευσε πλεῖν αὐτὸν πρὸς τὸν ἔσχατον Μυσῶν, καὶ ἐλθὼν εἰς
Τευθρανίαν εὗρε τὴν μήτερα, καὶ τῆς χώρας ἐβασίλευσε. Λέγοιτο

οὖν ἐπὶ τῶν ὑπερηφάνως τισὶ κεχρημένων. Καὶ εἰώθασι λέγειν, ὡς A ἐσχάτῳ Μυσῶν κέχρηταί μοι. Cf. Suid.

216 Εὐγενέστερος Κόδρου: Ἐπὶ τῶν πάνυ εὐγενῶν· ἦν δὲ ὁ Κόδρος ἀπὸ Δευκαλίωνος. Cf. Suid.

217 Εὐδαίμων ἡ Κόρινθος, ἐγὼ δ' εἴην Τενεάτης: Cf. Zenob. III. 96. ἐπὶ τῶν ὁμολογούντων μὲν ὀλβίαν εἶναι τινὰ πόλιν, B προαιρουμένων δὲ ἀθορύβως ἥττονος κώμης. Ἔστι γὰρ κώμη ἐν ᾗ ἱερὸν Ἀπόλλωνος Τενεάτου.

218 Εὕδοντα κύρτος αἱρεῖ: Ἐπὶ τῶν ἀταλαιπώρως εὐτυχούντων· παρ' ὅσον κοιμωμένοις τοῖς ἁλιεῦσιν οἱ ἰχθύες τοῖς κύρτοις ἐμπίπτουσιν. C

219 Εὕδουσι λαγῶ: Πρὸς τοὺς νωθεῖς μὲν εἶναι δοκοῦντας, τοῖς δὲ ἔργοις δραστηρίους.

220 Εὖ μὲν, ἀλλ' οὐδὲν πρὸς τὴν Παρμένοντος ὗν: Ἐπὶ τῶν πειρωμένων τὶ μιμεῖσθαι, οὐκ ἐφικνουμένων δέ. Παρμένων γὰρ ὁ ζωγράφος ὗν γράψας ἀνέθηκεν, ἣν καὶ φωνὴν ἀφιέναι οἱ θεώμενοι D ἐδόκουν.

221 Εὐορκότερος τελεάτου ἢ γενεάτου: Ἐπὶ τῶν εὐορκούντων.

222 Εὖ πλεῖν (sic) θάλατταν: Ἐπὶ τῶν μάτην εὐεργετούντων.

223 Εὖ πράττε· τὰ φίλων δ' οὐδὲν, ἢν σὺ δυστυχῇς: Ἐπὶ τῶν παρὰ φίλων μὴ ὠφελουμένων. E

224 Εὐριπίδειος ὅρκος: Ἴσως ὁ κατὰ κυνὸς ἢ χηνός.

225 Εὔριπος: Πέλαγος, ὃ ἑπτάκις τῆς ἡμέρας τρέπεται. Ἀφ' οὗ καὶ παροιμία Εὐρίπου μεταβολαὶ, ἀπὸ τοῦ εὖ καὶ τοῦ ῥιπίζω, ὁ εὐρίπιστος.

226 Εὐρυκλῆς μαντεύεται: Ἐπὶ τῶν ἐπ' ὀλέθρῳ σφῶν αὐτῶν F μαντευομένων. Εὐρυκλῆς γὰρ ἐδόκει δαίμονά τινα ἐν τῇ γαστρὶ ἔχειν, τὸν ἐγκελευόμενον αὐτῷ περὶ τῶν μελλόντων λέγειν· ὅθεν καὶ ἐγγαστρίμυθος ἐκαλεῖτο. Οὗτος δὲ προειπὼν ποτὲ τινὶ τὰ μὴ καθ' ἡδονὴν, ἀνῃρέθη.

227 Ἐφ' ὕδωρ ἔλαχεν: Ἐπὶ τῶν φαύλας καὶ εὐτελεῖς ἀρχὰς G λαχόντων· ἐν γὰρ τοῖς δικαστηρίοις φαυλότατον ἦν τὸ ἔργον τὸ διαμετρεῖν ὕδωρ τοῖς δικαζομένοις, ὅθεν καὶ κλήρῳ τοῦτο ἐποίουν.

228 Ἐχενηΐς: Ἡ κρατοῦσα τὴν ναῦν ἄγκυρα. Ἔστι δὲ καὶ εἶδος ἰχθύος, ὃς δύναμιν ἔχει ἐπέχειν τὰς ναῦς. Καλεῖται δὲ

καὶ ναυκράτης· ὅθεν καὶ παροιμία· ἘΧΕΝΗΐΔΟΣ ΔΊΚΗΝ ἜΧΕΤΑΙ. A
Πρὸς τὸν τινὸς ἐχόμενον.

229 Ἐχθρῶν ἄδωρα δ. κοὐκ ὀν.: *Ὅταν αἱ παρ' ἐχθρῶν δωρεαὶ βλάβην οἴσουσιν.* Cf. Suid.

230 Ἐχθρὸς δὲ κἂν καλὰ ποιήσῃ, κακά ἐστιν:

231 Ἐχῖνος ἐν χειμῶνι: *Ἐπὶ τῶν παρ' ὥραν φαινομένων ἢ* B
πραττομένων.

232 Ἔχω τὸ σχῆμα τοῦ τεθνεῶτος: *Ἐπὶ τῶν ἑαυτοὺς ἀπεγνωκότων.*

233 Ζεῖ χύτρα, ζεῖ φιλία: Παροιμία, *ὅτι ὅταν πλουτῇ τις, φίλους ἔχει.* Suid. C

234 Ζεὺς γὰρ κατήιει χρόνιος εἰς τὰς διφθέρας: *Ὅτι οὐκ ἀπρονόητα τὰ τῶν θεῶν. Διφθέραι δὲ τόπος ἦν εὐτελὴς, ἐν ᾧ ἁμαρτήσαντες μόλις ἐκολάσθησαν οἱ οἰκήτορες.*

235 Ζῆ καῖε πῦρ: *Ἐπὶ τῶν μόλις γενομένων.* Suid.

236 Ζήνωνος ἐγκρατέστερος: Οὗτος *γὰρ ἄκραν εἶχε δίαιταν* D
καὶ λιτήν. Καὶ Ζήνωνος ὑγιέστερος: Οὗτος *γὰρ ὀκτὼ πρὸς τοῖς ἐννενήκοντα ἔτη βιοὺς, οὐκ ἐνόσησεν.*

237 Ζῆ χύτρα ζῆ φιλία (sic): *Ὅτι τοῖς δυστυχήσασιν οὐκ εἰσὶ φίλοι.*

238 Ἡ γλῶττα τῷ κήρυκι τέμνεται: V. Suid. usque ad *ἀπο-* E
νέμεσθαι. Tum Cod. Ἡ γλῶττα τῷ κήρυκι τοῦτο γίνεται.
Αἰτία, *ἐπὶ τῶν βλάσφημα λεγόντων.*

239 Ἡ γλῶττ' ἀνέγνωκ' ἡ δὲ φρὴν οὐ μανθάνει: *Ἐπὶ τῶν ἀμαθῶν.*

240 Ἡ γραῦς τὰς ἀγαθίδας *ἐκπίνουσα, ταῦτα μὲν ἀγαθίδες.* F
Ἐπὶ τῶν ἄγαν μεθύσων. Καὶ *πάλιν·* ἡ γραῦς τὸ ἄροτρον ἐκπίνουσα, *φ" οἷα κακὰ τὴν γῆν ἀναστρέφει.*

241 Ἡ Θράττα ἐπὶ τῷ ταρίχει: *Ἐπὶ τῶν κρυπτόντων τὰ ἴδια πάθη, ἢ ἐπὶ τῶν προφασιζομένων ἵνα τύχοιεν τινός.* Καὶ *γὰρ ἡ*
Θράττα φίλοινος οὖσα, διψῆν ἔφασκε, διὰ τὸ φαγεῖν τάριχος. G

242 Ἤθη φίλων γίνωσκε, μιμήσῃ δὲ μή: *Ὅτι οὐ δεῖ πάντα φίλῳ ἕπεσθαι.*

243 Ἡ κάμηλος ψωριῶσα πολλῶν ὄνων ἀνατίθεται φορτία:

Ἐπὶ τῶν γηρασάντων ἀνδρείων, ἢ ἐπὶ τῶν δυστυχησάντων μὲν, A
πάλιν δὲ δυναμένων. Cf. Diog.

244 Ἡ ΚΑΥΝΊΑ ΒΟΥ͂Σ: Ἐπὶ τῶν ὅσα πονήσουσιν ἀπολλύντων,
ταύτῃ γὰρ πολὺ μὲν ἠμέλχθη γάλα, λακτίσασα δὲ ἀνέτρεψεν.

245 Ἢ ΛΈΓΕ ΤῚ ΣΙΓΗ͂Σ ΚΡΕΙ͂ΤΤΟΝ, Ἢ ΣΙΓῊΝ ἜΧΕ: Ἐπὶ τῶν οὐκ
ἄξια λεγόντων. B

246 ἩΛΙΆΔΩΝ ΔΆΚΡΥΑ: Ἐπὶ τῶν πολλὰ ἐχόντων χρήματα, παρ'
ὅσον τὰς Ἡλιάδας αἰγείρους Φαέθοντα θρηνούσας τὸν ἀδελφὸν,
στάζειν δάκρυα τὸν ἤλεκτρον οἱ Ἕλληνες ἐμυθεύσαντο, ἡλίου δὲ
τέκνα Φαέθων καὶ αἱ αἴγειροι.

247 ἩΛΙΘΙΏΤΕΡΟΣ ΛΕΥΚΟΛΌΦΟΥ: Οὗτος ἀποδόμενος τὴν οἰκίαν, C
ἀντεποιεῖτο τοῦ φρέατος. Καὶ

248 ἩΛΙΘΙΏΤΕΡΟΣ ΤΟΥ͂ ΠΡΑΞΙΛΛΗΣ ἈΔΩΝΙΔΟΣ: Ἐπὶ τῶν ἀνοή-
των. Πράξιλλα γὰρ ἡ Σικυωνία μελοποιὸς ἐν τοῖς ὕμνοις εἰσάγει
τὸν Ἄδωνιν ἐρωτώμενον ὑπὸ τῶν καταχθονίων, τί κάλλιστον κατα-
λιπὼν ἐλήλυθεν, ἐκεῖνον δὲ λέγοντα οὕτως, D

Κάλλιστον μὲν ἐγὼ λείπω φάος ἠελίοιο·
δεύτερον ἄστρα φαεινὰ, σεληναίης τε πρόσωπον,
ἠδὲ καὶ ὡραίους σικύους καὶ μῆλα καὶ ὄχνους.

Εὐήθης γάρ τις ἴσως ὁ τῷ ἡλίῳ καὶ τῇ σελήνῃ τοὺς σικύους καὶ
τὰ λοιπὰ συναριθμῶν. Cf. Zenob. E

249 ἩΛΊΒΑΤΟΝ: Τὸ ὑψηλὸν ὄρος, τῷ ἡλίῳ ὂν μόνῳ βατόν. Καὶ
παροιμία, ἨΛΊΒΑΤΟΝ ΚΑΚΌΝ, ἐπὶ τῶν σφόδρα δεινῶν.

250 ἯΛΙΞ ἭΛΙΚΑ ΤΈΡΠΕΙ: Πλάτων λέγει· τὸ δὲ ἐντελὲς, ΓΈΡΩΝ
ΔΈ ΤΕ ΤΈΡΠΕΙ ΓΈΡΟΝΤΑ. Cf. Suid.

251 ἭΛΩΙ ΤῸΝ ἯΛΟΝ ἘΚΚΡΟΎΕΙ: Ἀντὶ τοῦ κακῷ τὸ κακὸν ἰᾶται. F

252 ἩΜΈΝΗ ΠΕΛΙΆΣ: Ἐπὶ τῶν ἁπλουστάτων, κατὰ ἀντιπαρεξέ-
τασιν τῆς παλευτρίας· αἱ γὰρ ἐξιπτάμεναι ἀπατῶσιν ἑτέρας, πα-
λεῦσαι γὰρ τὸ ἀπατῆσαι σημαίνει. Cf. B. 469.

253 ἬΤΟΙ ΚΡΊΝΟΝ Ἢ ΚΟΛΟΚΎΝΤΗ: Ἐπὶ τῶν ἀδήλων. Τὸ γὰρ
τῆς κολοκύνθης ἄνθος καλεῖται κρίνον. Ἄδηλον δὲ ἀνθῆσαν εἰ G
μέχρι κρίνου προβήσεται ἢ καὶ καρπὸν οἴσει. Μέμνηται ταύτης
Μένανδρος. Cf. Zenob.

254 Ἡ ΦΆΝΟΥ ΘΎΡΑ: Cf. Suid. Cod. ἐπὶ τῶν μετὰ μεγάλου

κτύπου ἀνοιγομένων θυρῶν. Φασὶ γὰρ τὸν Φάνον τυφλὸν εἶναι, A καὶ δεδοικότα μὴ ὑπὸ κλεπτῶν τὰ ἔνδον συληθείη, τοιαύτην κατασκευάσαι τὴν τοῦ οἴκου θύραν, ὡς μὴ δίχα ψόφου ἀνοίγεσθαι. Οἱ δὲ φασὶν ὅτι διὰ τὸ μοιχεύεσθαι τὴν αὐτοῦ γυναῖκα τοῦτο ἐποίησε. Τῆς δὲ ἀπὸ τῆς στέγους (sic) εἰσαγούσης τὸν μοιχὸν, τοὺς γείτονας χλευάζοντας λέγειν, ἐπὶ τῶν μηδὲν ἀνυόντων ἐν ταῖς φυλακαῖς, ἡ B φάνου θύρα. Cf. Suid.

255 Ἡφαίστου δεσμὸς ἢ ἡφαίστειος δεσμός: Ἐπὶ τῶν ἀφύκτων καὶ ἀλύτων δεσμῶν. Ἥφαιστος γὰρ τὸν Προμηθέα στερρῶς ἐδέσμευσεν. Cf. Suid.

256 Θεὸς ἡ ἀναίδεια: Λέγεται κατὰ τῶν δι' ἀναισχυντίαν τινὰ C ὠφελουμένων. Ἐτιμᾶτο δὲ καὶ ἐν Ἀθήνῃσιν ἡ ἀναίδεια. Cf. Zenob.

257 Θεὸς ἐκ μηχανῆς: Ἐπὶ τῶν ἐκ παραλόγου τινὰ βοήθειαν εὑρισκομένων. Ἐν γὰρ ταῖς τραγῳδίαις ἐξ ἀφανοῦς θεοί τινες ἐπὶ τῆς σκηνῆς ἀπὸ μηχανῆς ἀνεφαίνοντο. Suid. D

258 Θεοὶ μολοττικοί: Οἱ κύνες· ἢ ὅτι ψυχοπομποὶ ἐν Μολοττίᾳ. Ἐπὶ τῶν φοβουμένων τὰ φόβου ἄξια.

259 Θερσίτειον βλέμμα, καὶ Θερσίτειον εἴδωλον: Παροιμία ἐπὶ τῶν πάνυ δυσειδῶν, ἐπεὶ καὶ ὁ Θερσίτης τοιοῦτος ἦν.

260 Θετταλικὸν σόφισμα: Ἐπὶ τῶν πανούργων καὶ εὐμεθόδων E ἔργων. Λέγεται δὲ καὶ ἐπὶ τῶν ἀεὶ ἀναβαλλομένων τὸ παρ' αὐτῶν ὑπεσχημένον, δι' οἰκεῖον κέρδος. Ἀράτιος γὰρ ὁ ἐκ Θετταλίας ηὔξατο δοῦναι τῷ Ἀπόλλωνι, εἰ περιγένοιτο τῶν ἐχθρῶν, ἑκατόμβην ἀνδρῶν, καὶ τυχὼν οὐκ ἐποίει, διὰ τὸ μὴ ἱεροπρεπῆ εἶναι λέγων τὴν τοιαύτην θυσίαν. Suid. F

261 Θρᾶκες ὅρκια οὐκ ἐπίστανται: Λέγεται ἐπὶ τῶν τοῖς ὅρκοις οὐκ ἐμμενόντων, παρ' ὅσον οἱ Θρᾶκες ποτὲ σπεισάμενοι πρὸς τοὺς Βοιωτοὺς καὶ ὀμόσαντες, νυκτὸς ἐπιθέμενοι τοὺς πολλοὺς αὐτῶν ἀπέκτειναν. Cf. Suid.

262 Θρακεία παρεύρεσις: Ἐπὶ τῶν δολίως τι μηχανωμένων καὶ G χαλεποῖς ἔργοις λόγους εὐπροσώπους ἐξευρισκόντων· Θρᾶκες γὰρ ἡττηθέντες ὑπὸ Βοιωτῶν περὶ Χερώνειαν, (sic) καὶ σπεισάμενοι, θύουσι τἀπινίκια τοῖς Βοιωτοῖς νυκτὸς ἐπέθεντο· καὶ πολλοὺς αὐτῶν ἀνεῖλον, τινὰς δὲ καὶ ἐζώγρησαν. Ἀγανακτούντων δὲ Βοιωτῶν ἐπὶ

τῷ παρεσπονδῆσθαι, ἔφασαν οἱ Θρᾷκες, ὅτι τὰς ἡμέρας, ἀλλ' οὐ A
τὰς νύκτας ἐσπεισάμεθα. Suid.

263 Θύραζε Κᾶρες οὐκέτ' Ἀνθεστήρια: Suid. Cod. Ἀνθε-
στήρια ἑορτὴ ἦν οὕτω καλουμένη, ἐν ᾗ καὶ οἱ δοῦλοι, οἱ Κᾶρες
ἐλέγοντο, ἀργοὶ καὶ εὐωχούμενοι ἦσαν. Μετὰ δὲ τὴν ἑορτὴν οἱ
δεσπόται τῆς οἰκίας ἐκβάλλοντες αὐτοὺς καὶ πρὸς ἔργα προτρέ- B
ποντες ἔλεγον· "Θύραζε Κᾶρες οὐκέτ' Ἀνθεστήρια."

*263 Θύραθεν: Ἐκ τῆς θύρας καὶ ἀντὶ τοῦ ἐγγὺς, καὶ ἀντὶ τοῦ
ἐκτὸς, καθὰ φαμὲν ἐκ τῶν θύραθεν ἢ ἀπὸ τῶν ἐκτός. Εἴληπται
δὲ ἀπὸ τῶν αἰτούντων πτωχῶν καὶ ἔξω τῆς θύρας ἱσταμένων.

264 Ἰάλεμος: Εἶδος θρήνου, ἡ ἐπὶ τοῖς ἀπολωλόσιν ἀνία, καὶ ὁ C
υἱὸς Καλλιόπης, καὶ ὁ ὀρφανός· ἔνιοι δὲ καὶ τὸν κακοδαίμονα καὶ
τὸ εὐτελές. Ἰαλεμώδη τὰ ψυχρὰ καὶ οὐδενὸς ἄξια, ἢ τὰ θρη-
νώδη.

265 Ἴδε πῦρ ἴδ' αὐτή: Ἐπὶ τῶν ὀξὺ τέλος λαμβανόντων, παρ'
ὅσον ἡ ἀφύη ταχέως ἕψεται. Suid. D

266 Ἱερὰ ἄγκυρα: Πρὸς τοὺς ἐφ' οἷς λέγουσι διισχυριζομέ-
νους.

267 Ἱερείας ἐνύπνιον: Ἐπὶ τῶν ἐξ ἐνυπνίων κακὰ παθόντων· λέ-
γεται δὲ καὶ Ἱμεραίας ἐνύπνιον. Ἱμεραία γάρ τις ἱέρεια καθ'
ὕπνους εἰς οὐρανὸν εἶναι ἔδοξε, καὶ τῷ τοῦ Διὸς θρόνῳ ἰδεῖν ἁλύσει E
δεδεμένον τινὰ, περὶ οὗ ἐρωτήσασαν μαθεῖν τὸν Σικελίας εἶναι ἄρ-
χοντα, ὕστερον δὲ ἰδοῦσα Διόνυσον τυραννήσαντα, αὐτὸν εἶναι εἶπεν
ὃν καθ' ὕπνους ἑώρακε. Καὶ ὀργισθεὶς ἀπέκτεινεν αὐτὴν ὁ Διόνυ-
σος. Cf. Suid.

268 Ἱερὸν ἡ συμβουλή: Ἐπὶ τῶν καθαρῶς καὶ ἀδόλως συμβου- F
λευόντων. Δεῖ γὰρ τὸν συμβουλεύοντα μὴ τὸ ἴδιον σκοπεῖν. Τὸ
γὰρ ἱερὸν οὐδενὸς ἴδιον, ἀλλὰ τῶν χρωμένων ἐστὶ κοινόν.

269 Ἴθι ὀρθός: Ἐπὶ τῶν τοῦ δικαίου ἐκτρεπομένων.

270 Ἵνα μὴ φάγῃς σκόροδα, μηδὲ κυάμους: Ἐπὶ τῶν ἡσυχῇ
ζώντων. Ἔθος γὰρ ἦν τοῖς ἐν πολέμῳ ἀπιοῦσιν ἐσθίειν σκόροδα, G
τοὺς δὲ δικαστὰς κυάμους, ἵνα μὴ κοιμηθῶσιν. Οἱ γοῦν δικάζον-
τες καὶ ἐν πολέμῳ ἀπήρχοντο βίας καλούσης. Cf. Suid.

271 Ἱππέας εἰς πεδίον καλεῖ: Cf. Suid. Cod. ἐπὶ τῶν κα-
λούντων τινὰς εἰς ἃ ἐρῶσιν.

272 Ἱππεῖς ἐν Θετταλίαι καὶ Θράκηι: Παροιμία. A

273 Ἵππος με φέρει, βασιλεὺς με τρέφει: Ἐπὶ τῶν ἐξ ἀλλοτρίων τρυφώντων. Cf. Diog.

274 Ἵππου γῆρας: Ἐπὶ τῶν πρὸς τῷ γήρᾳ δυστυχούντων.

275 Ἵππος εἰς πεδίον: Παροιμία ὁμοία τῇ, ἀλλὸς εἰς πῦρ.

276 Ἴσα πόλεμον οὐ ποιεῖ: Ὁμοία τῇ, ἰσότης φιλότης. B

277 Ἴσαι ψῆφοι: Ἐπὶ τῶν ἐν δικαστηρίῳ ἀντικρινομένων, καὶ μηδενὸς καταβεβλημένου. Αἰσχίνης κατὰ Κτησιφῶντος.

278 Κάβος: Εἶδος μέτρου. Καὶ παροιμία κάβος κάβου.

279 Καδμεία νίκη: Cf. Suid. Cod. λέγεται ἐπὶ τῶν ἐπὶ κακῶν νικώντων. Οἱ μὲν λέγουσιν ὅτι Θηβαῖοι νικήσαντες ὕστερον ὑπὸ C τῶν Ἐπιγόνων ἡττήθησαν, οἱ δὲ διὰ Ἐτεοκλέα καὶ Πολυνείκην λέγουσιν, οἵ τινες μονομαχήσαντες ὑπ' ἀμφοτέρων ἀπώλοντο.

280 Καὶ ταῦτ' ἔχοντες κυμάτων ἐν ἀγκάλαις: Ἀντὶ τοῦ ὄντες ἐν πολλοῖς κινδύνοις.

281 Καὶ κεραμεὺς κεραμεῖ κοτέει: Ἐπὶ τῶν ὁμοτέχνων διαφθονουμένων. D

282 Καὶ χερσὶ καὶ κόμαισι καὶ ποδῶν βάσει: Ἀντὶ τοῦ παντὶ τρόπῳ, καὶ ἔργοις δηλαδὴ, ὃ δηλοῖ διὰ τοῦ χερσὶ, καὶ κατανεύσει, τοῦτο γὰρ σημαίνει τὸ κόμαισι, καὶ βαδίσει, ὃ δηλοῖ διὰ τῶν ποδῶν καὶ τῆς βάσεως. E

283 Κακὰ κακῶν: Τὰ ὑπερβολικὰ κακά.

284 Κακοῦ κόρακος κακὸν ᾠόν: Ἐπὶ τῶν κακῶν γεννημάτων ἢ μαθημάτων.

285 Καλλίου: Πιθήκου. Τὰ δυσχερῆ γὰρ τῶν ὀνομάτων εὐφημότερον εἰώθασιν οἱ Ἀττικοὶ προσφέρεσθαι, καὶ τὸν πίθηκον οὖν καλλίαν προσηγόρευσαν, οὕτω καὶ τὰς Ἐριννύας Εὐμενίδας λέγουσιν. F

286 Καλλικυρίων πλείους: Cf. Suid. Cod. τοῦτο ἐλέγετο εἴποτε πλῆθος ἤθελον ἐμφῆναι. Οἱ γὰρ Καλλικύριοι δοῦλοι ἦσαν, πλείους τῶν κυρίων αὐτῶν, ὥστε καὶ αὐτοὺς ἐξέβαλλον.

287 Κάλως: Τὸ παχὺ σχοινίον τῆς νηός. Καὶ παροιμία· πάντα κάλων κινεῖν, ἀντὶ τοῦ πάντα τρόπον ποιεῖν, ἐπὶ τῶν ἀπορούντων. G

288 Κανθάρου μελάντερον· καὶ κανθάρου σοφώτερος: Ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων. Κάνθαρος γάρ τις ἐγένετο κακοῦργος

τος τὸν ἐν Πυθίᾳ ναὸν οἰκοδομῶν, τῶν μισούντων αὐτὸν διὰ τὴν A
τυραννίδα προσαποπατούντων ἐκεῖ καὶ προσουρούντων, προσέγραψε λέγων· ἑαυτὸν αἰτιάσεται ὁ ἔτι προσασχημονήσας· καταφρονουμένου δὲ τοῦ γράμματος, καταλαβὼν μέτοικον ἐπὶ πολλὰς ἡμέρας μαστιγώσας πρὸ τοῦ τεμένους ἀνεῖλεν. Ἐλήφθη δὲ ἡ παροιμία ἐπὶ τῶν τιμωρίας μεγάλας ὑφισταμένων καὶ κακοπαθούντων. Cf. B
B. 407. et Suid.

191 Ἐν τριόδῳ εἰμὶ λογισμοῦ: Ἐπὶ τῶν πολλοῖς λογισμοῖς συνειλημμένων καὶ ἀμφιβόλων.

192 Ἐξάντης λεύσω τοὐμὸν κακὸν ἄλλον ἔχοντα: Πλάτων ἐν Φαίδρῳ. Λέγεται δὲ τοῦτο καὶ ὡς παροιμία ἐπὶ τῶν τοῖς C
ὁμοίοις ἐνεχομένων. Cf. Suid.

193 Ἐξ ἀξίου τοῦ ξύλου κἂν ἀπάγξασθαι: Δεῖ ἐκ καλοῦ παθεῖν τὰ δεινὰ, ἢ ἐκ κακοῦ.

194 Ἐξ ἑνὸς τὰ πάνθ' ὁρᾶν: Suid. Cod. ἐπὶ τῶν ἐξ ἑνὸς πολλὰ καταλαμβανόντων. D

195 Ἐξ ἑνὸς πηλοῦ: Ἐκ τοῦ ὁμοίου καὶ παραπλησίου, ὁμοία τῇ, "ἐκ τῆς αὐτῆς κεραμίας."

196 Ἐξηκεστίδης εἰς ὁδόν: Παροιμία. Οὗτος εὐμήχανος ὁδοὺς ἐφευρίσκειν καὶ μὴ πλανᾶσθαι ὁδοιπορῶν, ὅθεν ἡ παροιμία ἐπὶ τῶν τὰς ὁδοὺς ἀκριβῶς εἰδότων. Suid. E

197 Ἐξ ὀνύχων τὸν λέοντα: Ἐκ μικροῦ τὸ μέγα.

198 Ἔξω γλαῦκες: Suid. Cod. παροιμία ἐπὶ ἐαρινοῦ καιροῦ· οἱ γὰρ γλαῦκες χειμῶνα σημαίνουσιν οἱ θαλάττιοι.

199 Ἔξω πηλοῦ τὸν πόδα ἔχει: Ἐπὶ τοῦ ἀκινδύνου.

200 Ἔοικα βοῦς ἐπὶ σφαγὴν μολεῖν: F

201 Ἐοίκασι τοῖς ἐκ Πύλου αηφθεῖσι τοῖς Λακωνικοῖς: Παροιμία ἐπὶ τῶν ὠχριώντων καὶ ἰσχνῶν. Πύλος δὲ χωρίον τῆς Λακωνικῆς, ἔνθα Κλέων στρατηγήσας τοὺς αἰχμαλώτους ἀπὸ Σφακτηρίας ἔλαβεν, οἳ ἀπὸ τοῦ τῆς αἰχμαλωσίας φόβου, καὶ τῆς πολυημέρου πολιορκίας, καὶ τῆς τῶν ἐπιτηδείων πρὸς τροφὴν G
στερήσεως, ἰσχνοὶ καὶ ὠχροὶ ἦσαν καὶ δυσειδεῖς.

202 Ἔοικα τῷ τοὺς ἅλας καὶ τὸ ἔλος πριαμένῳ: Ἐπὶ τῶν ἀμηγέπη δυοῖν ὄντοιν διὰ θατέρου βλαπτομένων. Ἀντίκεινται γὰρ ἀλλήλοις τὰ κτήματα, καὶ οὐδενὶ τῶν κεκτημένων λυσιτελεῖ

ἑκάτερον· εἰ μὲν γάρ τις καρποῖτο ἐκ τοῦ ἕλους, οἱ ἅλες διατή- A
κοιντο· εἰ δὲ ἔμπαλιν ἡλίῳ ὁ τόπος ἐκδίδοτο, ἐκ μὲν τῶν ἁλῶν πολὺ ἂν καρποῖτο, ἐκ δὲ θατέρου βλάπτοιτο τοῦ ἕλους αὐαινομένου.

203 ἙΟΡΤΗ͂Σ ΚΑΤΌΠΙΝ ἩΔΎΣΜΑΤΑ ΦΈΡΕΙ: Ἐπὶ τῶν ὑστεριζόντων.

204 ἙΟΡΤῊ ΠΌΔΑΣ ἜΧΟΥΣΑ: Ἐπὶ τῶν ἅπαντα πρὸς τὴν ἑορτὴν ἀχθοφορούντων· ἵνα γὰρ μηδενὸς φ' ὑστερῶσιν ἅμασις (sic), σκεύη, B
ἱερὰ, ἱμάτια, οἶνον, ἄρτους, ξύλα παραρτώμενοι ἐβάδιζον, ὥστε τοὺς βλέποντας ἐπιφωνεῖν, ἑορτὴ πόδας ἔχουσα. Cf. Suid.

205 ἘΠ' ἈΜΦΌΤΕΡΑ ΚΑΘΕΎΔΕΙ ΤᾺ ὮΤΑ: Ἐπὶ τῶν ἔξω φροντίδος.

206 ἜΠΕΣΘΕ ΜΗΤΡῚ ΧΟΙ͂ΡΟΙ: Ἐπὶ τῶν κολακευτικῶς τισὶν ἑπομένων τροφῆς ἕνεκα. C

207 ἘΠῚ ΒΎΡΣΗΣ ΚΆΘΗΤΑΙ: Conf. Suid. ὁ βεβαιότατος. Cod. addit, λέγεται γοῦν ἡ παροιμία ἐπὶ τῶν βοηθείας ἀξίων.

208 ἘΠῚ ΚΝΆΦΟΥ ἝΛΚΕΙΣ: Ἀντὶ τοῦ διαφθείρεις etc. B. 425. et Suid.

209 ἘΠΙΜΕΝΊΔΕΙΟΣ ὝΠΝΟΣ: Ἐπὶ τῶν λίαν ὑπνηλῶν· ἓξ γὰρ οὗτος D
ἐκάθευδε. Λέγεται δὲ καὶ ἘΠΙΜΕΝΊΔΕΙΟΝ ΔΈΡΜΑ, ἐπὶ τῶν γηραιῶν· ἔζησε γὰρ οὗτος ἔτη ρ̅ν̅.

210 ἘΠῚ ΞΥΡΟΥ͂ ἝΣΤΗΚΕΝ: Ἐπὶ κινδύνου, ἐν αὐτῇ τῇ τοῦ πράγματος ἐπιτάσει.

211 ἘΠῚ ΤᾺ ΜΑΝΔΡΟΒΟΎΛΟΥ: Suid. Cod. γεωφάνιον εὑρόντος, E
καὶ ἐξ αὐτοῦ πλουτήσαντος, καὶ τῷ μὲν πρώτῳ ἔτει χρυσ. κριὸν θύσαντος τῇ Ἥρᾳ, τῷ δὲ δ. ἀργ. τῷ τρ. χαλκοῦν, εἶτα οὐδέν.

212 ἜΠΟΣ ΠΡῸΣ ἜΠΟΣ ἨΡΕΙΔΌΜΕΘΑ: Τουτέστιν ἀντεβάλομεν, ἐφιλονεικοῦμεν.

213 ἙΣΤΊΑΙ ΘΎΟΜΕΝ: Ἐπὶ τῶν μὴ διδόντων ἀφ' ὧν θύουσιν. Οἱ F
γὰρ παλαιοὶ, ὅτε τῇ Ἑστίᾳ ἔθυον, οὐδενὶ μετεδίδοσαν τῆς θυσίας.

214 ἘΣΤῚ ΚΑῚ ΔΟΎΛΩΝ ΠΌΛΙΣ: Ἐπὶ τῶν πονηρῶς πολιτευομένων. Μνασέας γὰρ γράφει εἶναι δούλων πόλιν ἐν Λιβύῃ.

215 ἜΣΧΑΤΟΣ ΜΥΣΩ͂Ν ΠΛΕΙ͂Ν: Ἐπὶ τῶν πορρωτάτω που κατοικούντων. Τήλεφος γὰρ ἀποκτείνας τοὺς τῆς μητρὸς ἀδελφοὺς, νέος G
ὢν, ἔφυγεν ἐκ Τεγέας, χρόνῳ δὲ ὕστερον μὴ γνωρίζων ὧν ἐστιν ἦλθεν ἐρησόμενος τὸν θεὸν τίνων εἴη γεγεννημένος. Ἡ δὲ Πυθία ἐκέλευσε πλεῖν αὐτὸν πρὸς τὸν ἔσχατον Μυσῶν, καὶ ἐλθὼν εἰς Τευθρανίαν εὗρε τὴν μήτερα, καὶ τῆς χώρας ἐβασίλευσε. Λέγοιτο

οὖν ἐπὶ τῶν ὑπερηφάνως τισὶ κεχρημένων. Καὶ εἰώθασι λέγειν, ὡς A
ἐσχάτῳ Μυσῶν κέχρηταί μοι. Cf. Suid.

216 Εὐγενέστερος Κόδρου: Ἐπὶ τῶν πάνυ εὐγενῶν· ἦν δὲ ὁ Κόδρος ἀπὸ Δευκαλίωνος. Cf. Suid.

217 Εὐδαίμων ἡ Κόρινθος, ἐγὼ δ' εἴην Τενεάτης: Cf. Zenob. III. 96. ἐπὶ τῶν ὁμολογούντων μὲν ὀλβίαν εἶναι τινὰ πόλιν, B
προαιρουμένων δὲ ἀθορύβως ἥττονος κώμης. Ἔστι γὰρ κώμη ἐν ᾗ ἱερὸν Ἀπόλλωνος Τενεάτου.

218 Εὔδοντα κύρτος αἱρεῖ: Ἐπὶ τῶν ἀταλαιπώρως εὐτυχούντων· παρ' ὅσον κοιμωμένοις τοῖς ἁλιεῦσιν οἱ ἰχθύες τοῖς κύρτοις ἐμπίπτουσιν. C

219 Εὔδουσι λαγώ: Πρὸς τοὺς νωθεῖς μὲν εἶναι δοκοῦντας, τοῖς δὲ ἔργοις δραστηρίους.

220 Εὖ μὲν, ἀλλ' οὐδὲν πρὸς τὴν Παρμένοντος ὗν: Ἐπὶ τῶν πειρωμένων τὶ μιμεῖσθαι, οὐκ ἐφικνουμένων δέ. Παρμένων γὰρ ὁ ζωγράφος ὗν γράψας ἀνέθηκεν, ἣν καὶ φωνὴν ἀφιέναι οἱ θεώμενοι D
ἐδόκουν.

221 Εὐορκότερος τελεάτου ἢ γενεάτου: Ἐπὶ τῶν εὐορκούντων.

222 Εὖ πεῖν (sic) θάλατταν: Ἐπὶ τῶν μάτην εὐεργετούντων.

223 Εὖ πράττε· τὰ φίλων δ' οὐδὲν, ἢν σὺ δυστυχῇς: Ἐπὶ τῶν παρὰ φίλων μὴ ὠφελουμένων. E

224 Εὐριπίδειος ὅρκος: Ἴσως ὁ κατὰ κυνὸς ἢ χηνός.

225 Εὔριπος: Πέλαγος, ὃ ἑπτάκις τῆς ἡμέρας τρέπεται. Ἀφ' οὗ καὶ παροιμία Εὐρίπου μεταβολαὶ, ἀπὸ τοῦ εὖ καὶ τοῦ ῥιπίζω, ὁ εὐρίπιστος.

226 Εὐρυκλῆς μαντεύεται: Ἐπὶ τῶν ἐπ' ὀλέθρῳ σφῶν αὐτῶν F
μαντευομένων. Εὐρυκλῆς γὰρ ἐδόκει δαίμονά τινα ἐν τῇ γαστρὶ ἔχειν, τὸν ἐγκελευόμενον αὐτῷ περὶ τῶν μελλόντων λέγειν· ὅθεν καὶ ἐγγαστρίμυθος ἐκαλεῖτο. Οὗτος δὲ προειπὼν ποτὲ τινὶ τὰ μὴ καθ' ἡδονὴν, ἀνῃρέθη.

227 Ἐφ' ὕδωρ ἔλαχεν: Ἐπὶ τῶν φαύλας καὶ εὐτελεῖς ἀρχὰς G
λαχόντων· ἐν γὰρ τοῖς δικαστηρίοις φαυλότατον ἦν τὸ ἔργον τὸ διαμετρεῖν ὕδωρ τοῖς δικαζομένοις, ὅθεν καὶ κλήρῳ τοῦτο ἐποίουν.

228 Ἐχενηΐς: Ἡ κρατοῦσα τὴν ναῦν ἄγκυρα. Ἔστι δὲ καὶ εἶδος ἰχθύος, ὃς δύναμιν ἔχει ἐπέχειν τὰς ναῦς. Καλεῖται δὲ

καὶ ναυκράτης· ὅθεν καὶ παροιμία· ἘΧΕΝΗΐΔΟΣ ΔΊΚΗΝ ἜΧΕΤΑΙ. A
Πρὸς τὸν τινὸς ἐχόμενον.

229 ἘΧΘΡΩ͂Ν ἌΔΩΡΑ Δ. ΚΟΫ́Κ ὌΝ.: *Ὅταν αἱ παρ' ἐχθρῶν δωρεαὶ βλάβην οἴσουσιν.* Cf. Suid.

230 ἘΧΘΡῸΣ ΔῈ ΚἊΝ ΚΑΛᾺ ΠΟΙΉΣΗΙ, ΚΑΚΆ ἘΣΤΙΝ:

231 ἘΧΙ͂ΝΟΣ ἘΝ ΧΕΙΜΩ͂ΝΙ: *Ἐπὶ τῶν παρ' ὥραν φαινομένων ἢ* B *πραττομένων.*

232 ἜΧΩ ΤῸ ΣΧΗ͂ΜΑ ΤΟΥ͂ ΤΕΘΝΕΩ͂ΤΟΣ: *Ἐπὶ τῶν ἑαυτοὺς ἀπεγνωκότων.*

233 ΖΕΙ͂ ΧΎΤΡΑ, ΖΕΙ͂ ΦΙΛΊΑ: *Παροιμία, ὅτι ὅταν πλουτῇ τις, φίλους ἔχει.* Suid. C

234 ΖΕῪΣ ΓᾺΡ ΚΑΤΉΙΕΙ ΧΡΌΝΙΟΣ ΕἸΣ ΤᾺΣ ΔΙΦΘΈΡΑΣ: *Ὅτι οὐκ ἀπρονόητα τὰ τῶν θεῶν. Διφθέραι δὲ τόπος ἦν εὐτελὴς, ἐν ᾧ ἁμαρτήσαντες μόλις ἐκολάσθησαν οἱ οἰκήτορες.*

235 ΖΗ͂ ΚΑῚ ΠΥ͂Ρ: *Ἐπὶ τῶν μόλις γενομένων.* Suid.

236 ΖΉΝΩΝΟΣ ἘΓΚΡΑΤΈΣΤΕΡΟΣ: *Οὗτος γὰρ ἄκραν εἶχε δίαιταν* D *καὶ λιτήν.* *Καὶ* ΖΉΝΩΝΟΣ ὙΓΙΈΣΤΕΡΟΣ: *Οὗτος γὰρ ὀκτὼ πρὸς τοῖς ἐννενήκοντα ἔτη βιοὺς, οὐκ ἐνόσησεν.*

237 ΖΗ͂ ΧΎΤΡΑ ΖΗ͂ ΦΙΛΊΑ (sic): *Ὅτι τοῖς δυστυχήσασιν οὐκ εἰσὶ φίλοι.*

238 Ἡ ΓΛΩ͂ΤΤΑ ΤΩ͂Ι ΚΉΡΥΚΙ ΤΈΜΝΕΤΑΙ: V. Suid. usque ad *ἀπονέμεσθαι.* Tum Cod. Ἡ ΓΛΩ͂ΤΤΑ ΤΩ͂Ι ΚΉΡΥΚΙ ΤΟΥ͂ΤΟ ΓΊΝΕΤΑΙ. E
Αἰτία, ἐπὶ τῶν βλάσφημα λεγόντων.

239 Ἡ ΓΛΩ͂ΤΤ' ἈΝΈΓΝΩΧ' Ἡ ΔῈ ΦΡῊΝ ΟΥ̓ ΜΑΝΘΆΝΕΙ: *Ἐπὶ τῶν ἀμαθῶν.*

240 Ἡ ΓΡΑΥ͂Σ ΤᾺΣ ἈΓΑΘΊΔΑΣ *ἐκπίνουσα, ταῦτα μὲν ἀγαθίδες.* F
Ἐπὶ τῶν ἄγαν μεθύσων. Καὶ πάλιν· Ἡ ΓΡΑΥ͂Σ ΤῸ ἌΡΟΤΡΟΝ ἘΚΠΊΝΟΥΣΑ, *φ" οἷα κακὰ τὴν γῆν ἀναστρέφει.*

241 Ἡ ΘΡΆΤΤΑ ἘΠῚ ΤΩ͂Ι ΤΑΡΊΧΕΙ: *Ἐπὶ τῶν κρυπτόντων τὰ ἴδια πάθη, ἢ ἐπὶ τῶν προφασιζομένων ἵνα τύχοιεν τινός. Καὶ γὰρ ἡ Θράττα φίλοινος οὖσα, διψῆν ἔφασκε, διὰ τὸ φαγεῖν τάριχος.* G

242 ἜΘΗ ΦΊΛΩΝ ΓΊΝΩΣΚΕ, ΜΙΜΉΣΗΙ ΔῈ ΜΉ: *Ὅτι οὐ δεῖ πάντα φίλῳ ἕπεσθαι.*

243 Ἡ ΚΆΜΗΛΟΣ ΨΩΡΙΩ͂ΣΑ ΠΟΛΛΩ͂Ν ὌΝΩΝ ἈΝΑΤΊΘΕΤΑΙ ΦΟΡΤΊΑ:

Ἐπὶ τῶν γηρασάντων ἀνδρείων, ἢ ἐπὶ τῶν δυστυχησάντων μὲν, A πάλιν δὲ δυναμένων. Cf. Diog.

244 Ἡ ΚΑΤΝΊΑ ΒΟΫΣ: Ἐπὶ τῶν ὅσα πονήσουσιν ἀπολλύντων, ταύτῃ γὰρ πολὺ μὲν ἠμέλχθη γάλα, λακτίσασα δὲ ἀνέτρεψεν.

245 Ἢ ΛΈΓΕ ΤΙ ΣΙΓΗ͂Σ ΚΡΕΙ͂ΤΤΟΝ, Ἢ ΣΙΓῊΝ ἜΧΕ: Ἐπὶ τῶν οὐκ ἄξια λεγόντων. B

246 ἩΛΙΆΔΩΝ ΔΆΚΡΥΑ: Ἐπὶ τῶν πολλὰ ἐχόντων χρήματα, παρ' ὅσον τὰς Ἡλιάδας αἰγείρους Φαέθοντα θρηνούσας τὸν ἀδελφὸν, στάζειν δάκρυα τὸν ἤλεκτρον οἱ Ἕλληνες ἐμυθεύσαντο, ἡλίου δὲ τέκνα Φαέθων καὶ αἱ αἴγειροι.

247 ἩΛΙΘΙΏΤΕΡΟΣ ΛΕΥΚΟΛΌΦΟΥ: Οὗτος ἀποδόμενος τὴν οἰκίαν, C ἀντεποιεῖτο τοῦ φρέατος. Καὶ

248 ἩΛΙΘΙΏΤΕΡΟΣ ΤΟΥ͂ ΠΡΑΞΊΛΛΗΣ ἈΔΏΝΙΔΟΣ: Ἐπὶ τῶν ἀνοήτων. Πράξιλλα γὰρ ἡ Σικυωνία μελοποιὸς ἐν τοῖς ὕμνοις εἰσάγει τὸν Ἄδωνιν ἐρωτώμενον ὑπὸ τῶν καταχθονίων, τί κάλλιστον καταλιπὼν ἐλήλυθεν, ἐκεῖνον δὲ λέγοντα οὕτως, D

Κάλλιστον μὲν ἐγὼ λείπω φάος ἠελίοιο·
δεύτερον ἄστρα φαεινὰ, σεληναίης τε πρόσωπον,
ἠδὲ καὶ ὡραίους σικύους καὶ μῆλα καὶ ὄχνους.

Εὐήθης γάρ τις ἴσως ὁ τῷ ἡλίῳ καὶ τῇ σελήνῃ τοὺς σικύους καὶ τὰ λοιπὰ συναριθμῶν. Cf. Zenob. E

249 ἩΛΊΒΑΤΟΝ: Τὸ ὑψηλὸν ὄρος, τῷ ἡλίῳ ὂν μόνῳ βατόν. Καὶ παροιμία, ἩΛΊΒΑΤΟΝ ΚΑΚΌΝ, ἐπὶ τῶν σφόδρα δεινῶν.

250 Ἥλιξ ἭΛΙΚΑ ΤΈΡΠΕΙ: Πλάτων λέγει· τὸ δὲ ἐντελὲς, ΓΈΡΩΝ ΔΈ ΤΕ ΤΈΡΠΕΙ ΓΈΡΟΝΤΑ. Cf. Suid.

251 Ἥλῳ ΤῸΝ ἭΛΟΝ ἘΚΚΡΟΎΕΙ: Ἀντὶ τοῦ κακῷ τὸ κακὸν ἰᾶται. F

252 ἩΜΈΝΗ ΠΕΛΙΆΣ: Ἐπὶ τῶν ἁπλουστάτων, κατὰ ἀντιπαρεξέτασιν τῆς παλευτρίας· αἱ γὰρ ἐξιπτάμεναι ἀπατῶσιν ἑτέρας, παλεῦσαι γὰρ τὸ ἀπατῆσαι σημαίνει. Cf. B. 469.

253 Ἤτοι ΚΡΊΝΟΝ Ἢ ΚΟΛΟΚΎΝΤΗ: Ἐπὶ τῶν ἀδήλων. Τὸ γὰρ τῆς κολοκύνθης ἄνθος καλεῖται κρίνον. Ἄδηλον δὲ ἀνθῆσαν εἰ G μέχρι κρίνου προβήσεται ἢ καὶ καρπὸν οἴσει. Μέμνηται ταύτης Μένανδρος. Cf. Zenob.

254 Ἡ ΦΆΝΟΥ ΘΎΡΑ: Cf. Suid. Cod. ἐπὶ τῶν μετὰ μεγάλου

κτύπου ἀνοιγομένων θυρῶν. Φασὶ γὰρ τὸν Φάνον τυφλὸν εἶναι, A
καὶ δεδοικότα μὴ ὑπὸ κλεπτῶν τὰ ἔνδον συληθείη, τοιαύτην κατασκευάσαι τὴν τοῦ οἴκου θύραν, ὡς μὴ δίχα ψόφου ἀνοίγεσθαι. Οἱ δὲ φασὶν ὅτι διὰ τὸ μοιχεύεσθαι τὴν αὐτοῦ γυναῖκα τοῦτο ἐποίησε. Τῆς δὲ ἀπὸ τῆς στέγους (sic) εἰσαγούσης τὸν μοιχὸν, τοὺς γείτονας χλευάζοντας λέγειν, ἐπὶ τῶν μηδὲν ἀνυόντων ἐν ταῖς φυλακαῖς, Ἡ B
ΦΑΝΟΥ ΘΥΡΑ. Cf. Suid.

255 Ἡφαίστου δεσμὸς ἢ Ἡφαίστειος δεσμός: Ἐπὶ τῶν ἀφύκτων καὶ ἀλύτων δεσμῶν. Ἥφαιστος γὰρ τὸν Προμηθέα στερρῶς ἐδέσμευσεν. Cf. Suid.

256 Θεὸς ἡ ἀναίδεια: Λέγεται κατὰ τῶν δι' ἀναισχυντίαν τινὰ C
ὠφελουμένων. Ἐτιμᾶτο δὲ καὶ ἐν Ἀθήνῃσιν ἡ ἀναίδεια. Cf. Zenob.

257 Θεὸς ἐκ μηχανῆς: Ἐπὶ τῶν ἐκ παραλόγου τινὰ βοήθειαν εὑρισκομένων. Ἐν γὰρ ταῖς τραγῳδίαις ἐξ ἀφανοῦς θεοί τινες ἐπὶ τῆς σκηνῆς ἀπὸ μηχανῆς ἀνεφαίνοντο. Suid. D

258 Θεοὶ μολοττικοί: Οἱ κύνες· ἢ ὅτι ψυχοπομποὶ ἐν Μολοττίᾳ. Ἐπὶ τῶν φοβουμένων τὰ φόβου ἄξια.

259 Θερσίτειον βλέμμα, καὶ Θερσίτειον εἴδωλον: Παροιμία ἐπὶ τῶν πάνυ δυσειδῶν, ἐπεὶ καὶ ὁ Θερσίτης τοιοῦτος ἦν.

260 Θετταλικὸν σόφισμα: Ἐπὶ τῶν πανούργων καὶ εὐμεθόδων E
ἔργων. Λέγεται δὲ καὶ ἐπὶ τῶν ἀεὶ ἀναβαλλομένων τὸ παρ' αὐτῶν ὑπεσχημένον, δι' οἰκεῖον κέρδος. Ἀράτιος γὰρ ὁ ἐκ Θετταλίας ηὔξατο δοῦναι τῷ Ἀπόλλωνι, εἰ περιγένοιτο τῶν ἐχθρῶν, ἑκατόμβην ἀνδρῶν, καὶ τυχὼν οὐκ ἐποίει, διὰ τὸ μὴ ἱεροπρεπῆ εἶναι λέγων τὴν τοιαύτην θυσίαν. Suid. F

261 Θρᾷκες ὅρκια οὐκ ἐπίστανται: Λέγεται ἐπὶ τῶν τοῖς ὅρκοις οὐκ ἐμμενόντων, παρ' ὅσον οἱ Θρᾷκες ποτὲ σπεισάμενοι πρὸς τοὺς Βοιωτοὺς καὶ ὀμόσαντες, νυκτὸς ἐπιθέμενοι τοὺς πολλοὺς αὐτῶν ἀπέκτειναν. Cf. Suid.

262 Θρακεία παρεύρεσις: Ἐπὶ τῶν δολίως τὶ μηχανωμένων καὶ G
χαλεποῖς ἔργοις λόγους εὐπροσώπους ἐξευρισκόντων· Θρᾷκες γὰρ ἡττηθέντες ὑπὸ Βοιωτῶν περὶ Χερώνειαν, (sic) καὶ σπεισάμενοι, θύουσι τἀπινίκια τοῖς Βοιωτοῖς νυκτὸς ἐπέθεντο· καὶ πολλοὺς αὐτῶν ἀνεῖλον, τινὰς δὲ καὶ ἐζώγρησαν. Ἀγανακτούντων δὲ Βοιωτῶν ἐπὶ

τῷ παρεσπονδῆσθαι, ἔφασαν οἱ Θρᾶκες, ὅτι τὰς ἡμέρας, ἀλλ' οὐ A
τὰς νύκτας ἐσπεισάμεθα. Suid.

263 Θύραζε Κᾶρες οὐκέτ' Ἀνθεστήρια: Suid. Cod. Ἀνθεστήρια ἑορτὴ ἦν οὕτω καλουμένη, ἐν ᾗ καὶ οἱ δοῦλοι, οἳ Κᾶρες ἐλέγοντο, ἀργοὶ καὶ εὐωχούμενοι ἦσαν. Μετὰ δὲ τὴν ἑορτὴν οἱ δεσπόται τῆς οἰκίας ἐκβάλλοντες αὐτοὺς καὶ πρὸς ἔργα προτρέ- B
ποντες ἔλεγον· "Θύραζε Κᾶρες οὐκέτ' Ἀνθεστήρια."

*263 Θύραθεν: Ἐκ τῆς θύρας καὶ ἀντὶ τοῦ ἐγγὺς, καὶ ἀντὶ τοῦ ἐκτὸς, καθὰ φαμὲν ἐκ τῶν θύραθεν ἢ ἀπὸ τῶν ἐκτός. Εἴληπται δὲ ἀπὸ τῶν αἰτούντων πτωχῶν καὶ ἔξω τῆς θύρας ἱσταμένων.

264 Ἰάλεμος: Εἶδος θρήνου, ἡ ἐπὶ τοῖς ἀπολωλόσιν ἀνία, καὶ ὁ C
υἱὸς Καλλιόπης, καὶ ὁ ὀρφανός· ἔνιοι δὲ καὶ τὸν κακοδαίμονα καὶ τὸ εὐτελές. Ἰαλεμώδη τὰ ψυχρὰ καὶ οὐδενὸς ἄξια, ἢ τὰ θρηνώδη.

265 Ἴδε πῦρ ἴδ' ἀφύη: Ἐπὶ τῶν ὀξὺ τέλος λαμβανόντων, παρ' ὅσον ἡ ἀφύη ταχέως ἕψεται. Suid. D

266 Ἱερὰ ἄγκυρα: Πρὸς τοὺς ἐφ' οἷς λέγουσι διισχυριζομένους.

267 Ἱερείας ἐνύπνιον: Ἐπὶ τῶν ἐξ ἐνυπνίων κακὰ παθόντων· λέγεται δὲ καὶ Ἱμεραίας ἐνύπνιον. Ἱμεραία γάρ τις ἱέρεια καθ' ὕπνους εἰς οὐρανὸν εἶναι ἔδοξε, καὶ τῷ τοῦ Διὸς θρόνῳ ἰδεῖν ἁλύσει E
δεδεμένον τινὰ, περὶ οὗ ἐρωτήσασαν μαθεῖν τὸν Σικελίας εἶναι ἄρχοντα, ὕστερον δὲ ἰδοῦσα Διόνυσον τυραννήσαντα, αὐτὸν εἶναι εἶπεν ὃν καθ' ὕπνους ἑώρακε. Καὶ ὀργισθεὶς ἀπέκτεινεν αὐτὴν ὁ Διόνυσος. Cf. Suid.

268 Ἱερὸν ἡ συμβουλή: Ἐπὶ τῶν καθαρῶς καὶ ἀδόλως συμβου- F
λευόντων. Δεῖ γὰρ τὸν συμβουλεύοντα μὴ τὸ ἴδιον σκοπεῖν. Τὸ γὰρ ἱερὸν οὐδενὸς ἴδιον, ἀλλὰ τῶν χρωμένων ἐστὶ κοινόν.

269 Ἴθι ὀρθός: Ἐπὶ τῶν τοῦ δικαίου ἐκτρεπομένων.

270 Ἵνα μὴ φάγῃς σκόροδα, μηδὲ κυάμους: Ἐπὶ τῶν ἡσυχῇ ζώντων. Ἔθος γὰρ ἦν τοῖς ἐν πολέμῳ ἀπιοῦσιν ἐσθίειν σκόροδα, G
τοὺς δὲ δικαστὰς κυάμους, ἵνα μὴ κοιμηθῶσιν. Οἱ γοῦν δικάζοντες καὶ ἐν πολέμῳ ἀπήρχοντο βίας καλούσης. Cf. Suid.

271 Ἱππέας εἰς πεδίον καλεῖ: Cf. Suid. Cod. ἐπὶ τῶν καλούντων τινὰς εἰς ἃ ἐρῶσιν.

272 Ἱππεῖς ἐν Θετταλίαι καὶ Θράκηι: Παροιμία. A

273 Ἵππος με φέρει, βασιλεὺς με τρέφει: Ἐπὶ τῶν ἐξ ἀλλοτρίων τρυφώντων. Cf. Diog.

274 Ἵππου γῆρας: Ἐπὶ τῶν πρὸς τῷ γήρᾳ δυστυχούντων.

275 Ἵππος εἰς πεδίον: Παροιμία ὁμοία τῇ, ἄλλος εἰς πῦρ.

276 Ἴσα πόλεμον οὐ ποιεῖ: Ὁμοία τῇ, ἰσότης φιλότης. B

277 Ἴσαι ψῆφοι: Ἐπὶ τῶν ἐν δικαστηρίῳ ἀντικρινομένων, καὶ μηδενὸς καταβεβλημένου. Αἰσχίνης κατὰ Κτησιφῶντος.

278 Κάβος: Εἶδος μέτρου. Καὶ παροιμία κάβος κάβου.

279 Καδμεία νίκη: Cf. Suid. Cod. λέγεται ἐπὶ τῶν ἐπὶ κακῶν νικώντων. Οἱ μὲν λέγουσιν ὅτι Θηβαῖοι νικήσαντες ὕστερον ὑπὸ C τῶν Ἐπιγόνων ἡττήθησαν, οἱ δὲ διὰ Ἐτεοκλέα καὶ Πολυνείκην λέγουσιν, οἵ τινες μονομαχήσαντες ὑπ' ἀμφοτέρων ἀπώλοντο.

280 Καὶ ταῦτ' ἔχοντες κυμάτων ἐν ἀγκάλαις: Ἀντὶ τοῦ ὄντες ἐν πολλοῖς κινδύνοις.

281 Καὶ κεραμεὺς κεραμεῖ κοτέει: Ἐπὶ τῶν ὁμοτέχνων διαφθονουμένων. D

282 Καὶ χερσὶ καὶ κόμαισι καὶ ποδῶν βάσει: Ἀντὶ τοῦ παντὶ τρόπῳ, καὶ ἔργοις δηλαδὴ, ὃ δηλοῖ διὰ τοῦ χερσὶ, καὶ κατανεύσει, τοῦτο γὰρ σημαίνει τὸ κόμαισι, καὶ βαδίσει, ὃ δηλοῖ διὰ τῶν ποδῶν καὶ τῆς βάσεως. E

283 Κακὰ κακῶν: Τὰ ὑπερβολικὰ κακά.

284 Κακοῦ κόρακος κακὸν ᾠόν: Ἐπὶ τῶν κακῶν γεννημάτων ἢ μαθημάτων.

285 Καλλίου: Πιθήκου. Τὰ δυσχερῆ γὰρ τῶν ὀνομάτων εὐφημότερον εἰώθασιν οἱ Ἀττικοὶ προσφέρεσθαι, καὶ τὸν πίθηκον οὖν καλ- F λίαν προσηγόρευσαν, οὕτω καὶ τὰς Ἐριννύας Εὐμενίδας λέγουσιν.

286 Καλλικυρίων πλείους: Cf. Suid. Cod. τοῦτο ἐλέγετο εἴποτε πλῆθος ἤθελον ἐμφῆναι. Οἱ γὰρ Καλλικύριοι δοῦλοι ἦσαν, πλείους τῶν κυρίων αὐτῶν, ὥστε καὶ αὐτοὺς ἐξέβαλλον.

287 Κάλως: Τὸ παχὺ σχοινίον τῆς νηός. Καὶ παροιμία· πάντα G κάλων κινεῖν, ἀντὶ τοῦ πάντα τρόπον ποιεῖν, ἐπὶ τῶν ἀπορούντων.

288 Κανθάρου μελάντερον· καὶ κανθάρου σοφώτερος: Ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων. Κάνθαρος γάρ τις ἐγένετο κακοῦργος

καὶ πονηρὸς, ὃς ἐπὶ προδοσίᾳ κριθεὶς Ἀθήνησιν ἀπέθανεν· οἱ δὲ A
κάπηλον ὄντα φασὶν ἀπερισκέπτως ἐπιθέσθαι τυραννίδι, καὶ ἀπολέσθαι. Οἱ δὲ παρὰ τὸ ζῶον· παρ' ὅσον κάνθαρος ἐγκυλίων ἑαυτὸν τῇ κόπρῳ, καὶ ἐπὶ τὴν καλιὰν ἀνερχόμενος τοῦ ἀετοῦ, ἐκκυλίει αὐτοῦ τὰ ᾠά. Cf. Zenob.

289 ΚΑΠΝΟΥ͂ ΣΚΙΆ: Ἐπὶ τῶν λίαν ἰσχνῶν, καὶ ἐπὶ τῶν ἀστάτων B
καὶ ἀφανῶν.

290 ΚΑΡΚΊΝΟΥ ΠΟΡΕΊΑ: Ἡ ἀργὴ καὶ δυσδιόρθωτος.

291 ΚΕΝΟῚ ΚΕΝᾺ ΛΟΓΊΖΟΝΤΑΙ: Παροιμία ἐπὶ τῶν ἀφρόνων μελετημάτων.

292 ΚΕΣΤΡΕῪΣ ΝΗΣΤΕΎΕΙΣ: Λέγεται ἐπὶ τῶν δικαιοπραγίᾳ βι- C
ούντων, καὶ νηστευόντων. Μόνος γὰρ ὁ κεστρεὺς τῶν ἄλλων ἰχθύων ἀλληλοφαγούντων ἀπέχεται σαρκοφαγίας, νέμεται δὲ ἰλύν. Κεστρεὺς δὲ ὁ νῦν κέφαλος.

293 ΚΟΙΝᾺ ΤᾺ ΤΩ͂Ν ΦΊΛΩΝ: Κέχρηται τῇ παροιμίᾳ Μένανδρος.
Ἀπὸ δὲ Πυθαγόρου φασὶ τὴν ἀρχὴν ταύτην λαβεῖν, πείθοντος τοὺς D
μαθητὰς κοινὰς τὰς οὐσίας ποιεῖσθαι. Cf. Suid.

294 ΚΡΌΝΟΥ ΠΥΓΉ: Ἀπὸ τοῦ ἀρχαίου καὶ ἀναισθήτου μέρους, ἐπὶ τῶν ἀναισθήτων. Cf. Suid.

295 ΚΡΌΤΩΝΟΣ ὙΓΙΈΣΤΕΡΟΣ: Ἐπὶ τῶν πάνυ ἐρρωμένων καὶ ἰσχυ-
ρῶν. Κρότων γὰρ ἐγένετό τις ἀθλητὴς Συρρακούσιος. Suid. E

296 ΚΎΝΑ ΔΈΡΕΙΝ ΔΕΔΑΡΜΈΝΗΝ: Τὸ τοῦ Φερεκράτους. Ἐπὶ τῶν μάτην πονούντων, ἢ τῶν προπεπονθότων τί. Suid.

297 ΚΎΩΝ ἘΝ ΠΡΟΘΎΡΩΙ: Ἐπὶ τῶν ἐν τοῖς δικαίοις τολμηρῶν.

298 ΚΎΩΝ ἘΝ ῬΌΔΟΙΣ: Ἐπὶ τῶν μὴ αἰσθανομένων ἐν μεγάλοις
ὄντων· ἢ ἐπὶ τῶν μείζοσιν ἢ καθ' αὐτοὺς ὄντων. F

299 ΚΎΩΝ ΚΥΝῸΣ ΟΥ̓Χ ἍΠΤΕΤΑΙ: Ἐπὶ τῶν τοὺς ὁμοίους φυλαττομένων.

300 ΛΆΒΡΑΚΑΣ ΜΙΛΗΣΊΟΥΣ: Cf. Suid. Cod. ὅταν ἐν ἀγορᾷ εἰς πλῆθος φανῶσιν. Ἐν γὰρ τῇ Μιλήτῳ πλεῖστοι τὲ καὶ μέγιστοί
εἰσιν. G

301 ΛΑΓῺΣ ΠΕΡῚ ΤΩ͂Ν ΚΡΕΩ͂Ν: Λείπει τὸ τρέχει· ἐπὶ τῶν ἐπὶ τοῖς μεγίστοις διακινδυνευόντων. Cf. Suid.

302 ΛΕΣΒΊΩΝ ΔΕΞΙΆ: Παροιμία ἐπὶ τῶν ἀπράκτων· οἱ δὲ, ἐπὶ τῶν ἀμεταδότων. Cf. Suid. ubi ἌΞΙΑ.

303 Λευκὴ ἡμέρα: Ἡ ἀγαθὴ, καὶ ἐπ' εὐφροσύνῃ, καὶ λευκὸν A ἀγαθὸν, ἐπὶ τοῦ ἡδέος. Cf. Suid.

304 Λευκόπυγος: Ἐπὶ τῶν δειλῶν καὶ ἀνάνδρων. Τοιοῦτοι γὰρ οἱ μὴ πονοῦντες ἐν ἔργοις. Τούτῳ δὲ ἐναντίον τὸ μελάμπυγος, ἐπὶ τῶν γενναίων. Οἱ γὰρ πονοῦντες ἔντριχον ἔχουσι τὴν πυγήν.

305 Λευκοὶ τοὺς δειλοὺς ὀνειδίζουσιν: Ἐπὶ τῶν ἑτέροις τὰ B προσόντα αὐτοῖς κακὰ προσφερόντων, παρ' ὅσον οἱ λευκοὶ δειλοί.

306 Λευκὴ ψῆφος: Ἐπὶ τῶν νικώντων, παρ' ὅσον ἡ μέλαινα ἧτταν ποιεῖ.

307 Λευκὴν μάζαν φυρᾷ σοι: Παροιμία ἐπὶ τῶν μεγάλα ὑπισχνουμένων. C

308 Λεχὼ λέαιναν καὶ κακὸς κύων φοβεῖ: Πρὸς τοὺς πεφοβημένους τὰ μὴ δέους ἄξια, παρ' ὅσον ἡ λέαινα τεκοῦσα καὶ τὰ μικρὰ φοβεῖται.

309 Λέων ξίφος ἔχων: Ἐπὶ τῶν φύσει μὲν ἀνδρείων, ἑτέραν δὲ προσλαμβανόντων ἔξωθεν βοήθειαν. D

310 Λήθαργος κύων: Ἐπὶ τῶν λάθρα καὶ σιωπῇ κακῶς τινὰ διαπραττομένων, παρ' ὅσον καὶ οἱ τοιοῦτοι κύνες λάθρα δάκνουσιν.

311 Λήμνιον κακόν: Τὸ μέγα καὶ ἀπάνθρωπον. Αἱ Λήμνιαι γὰρ τοὺς οἰκείους ἄνδρας ἀνεῖλον. Λήμνιον βλέπων: Ἀντὶ τοῦ κακὸν, ἢ πυρῶδες, ἀναφορὰ ἐν Λήμνῳ πυρὸς χαλεπή τις. E

312 Λίθοι λαλεῖς: Ἐπὶ τῶν ἀναισθήτων.

313 Λιμὸς Μηλιαῖος: (Cf. Suid.) Ἐπὶ τῶν χαλεπῶν λιμῶν· ἐπεὶ Ἀθηναῖοι ἐκάκωσαν Μηλίους πολιορκοῦντες λιμῷ, ὡς Θουκυδίδης ἐν πέμπτῃ.

314 Λοκρικὸς βοῦς: Ἐπὶ τῶν εὐγενῶν. F

315 Λοκρῶν συνθήματα: Ἐπὶ τῶν παρακρουομένων καὶ παραβαινόντων τὰς συνθήκας. Suid.

316 Λυγκέως ὀξύτερον βλέπει: Ἐπὶ τῶν ὀξυδορκούντων. Οὗτος γὰρ ὁ Λυγκεὺς εὗρε τὰ ὑπὸ γῆν μέταλλα χρυσίου καὶ κασσιτέρου, καὶ τὰ λοιπὰ (sic)· οἱ δέ φασιν ὅτι ὁ λυγκεὺς θηρίον ἐστὶ ὀξυδερ- G κέστατον. Cf. Suid.

317 Λύκειον ποτόν: Sicut Suid. Post εὑρεθείσης in marg. Ἀπόλλων ὁ Λύκιος δύο πηγὰς ἐποίησεν, ὧν ἡ μὲν μέλιτος, ἡ δὲ οἴνου ἦν.

318 ΛΥΚΟΣ ἜΧΑΝΕΝ: Ἐπὶ τῶν ἐλπιζόντων μέν τι ἕξειν, διαμαρ- A
τόντων δέ.

319 ΛΥΚΟΣ ΧΑΝΩΝ: Ἐπὶ τῶν ἀπράκτων. Cf. Suid.

320 ΛΥΚΟΥ ΔΕΚΑΣ: Ἐπὶ τῶν πονηρῶν καὶ προδοτῶν, Λύκος γάρ
τις ἥρως πρὸς τοῖς δικαστηρίοις ἵδρυτο. Οἱ δὲ Λύκου μορφὴν
ἔχων, πρὸς ὃ οἱ δωροδοκοῦντες κατὰ δέκα γινόμενοι, ἐπὶ καταψη- B
φισμῷ τινῶν καὶ καταλύσει ἀνεστρέφοντο. Οἱ δὲ, ταύτην τὴν
παροιμίαν λέγουσιν ἐπὶ τῶν ὀλίγον λαμβανόντων, ἐπεὶ Λύκος ὁ
ἥρως ἵδρυτο παρὰ τοῖς δικαστηρίοις. Ἀφώριστο δὲ αὐτῷ τριώ-
βολον τῆς ἡμέρας. Cf. Suid.

321 ΛΥΚΟΥ ΣΤΕΓΗ: Ἐπὶ τοῦ πενιχροῦ παντάπασι καὶ οὐδὲν ἔχον- C
τος ἀποκείμενον.

322 ΛΥΚΟΣ ΛΕΟΝΤΙ ΣΥΜΒΑΛΛΕΙ ΠΕΦΡΑΓΜΕΝΩΙ: Ἐπὶ τῶν ἀσθενῶν
καὶ δυνατωτέροις συμβαλλόντων.

323 ΛΥΚΟΣ ἘΝ ΑἸΤΙΑΙ ΓΙΝΕΤΑΙ ΚΑΝ ΦΕΡΗΙ ΚΑΝ ΜΗ ΦΕΡΗΙ: Πρὸς
τὸν ἐκ παντὸς τρόπου ἐν αἰτίᾳ γινόμενον. D

324 ΛΥΚΟΣ ΚΡΕΑΣ ΝΕΜΕΙ: Ἐπὶ τοῦ πλεονεκτεῖν καὶ διδόναι βου-
λομένου.

325 ΛΥΚΟΣ ΑἾΓΑΣ ἘΚΚΑΛΩΝ: Ἐπὶ τῶν καθυποκρινομένων φιλίαν
ἐχθρῶν.

326 ΛΥΚΟΥ ῬΗΜΑΤΑ: Ἐπὶ τοῦ καὶ λόγοις καὶ ἔργοις ἀδικοῦντος. E

327 ΜΑΝΤΙΚΗ ΨΥΧΗ: Ἐπὶ τῶν τὰ μέλλοντα προορωμένων. Πλά-
των Φαίδρῳ.

328 ΜΕΓΑΡΙΚΑΙ ΣΦΙΓΓΕΣ: Αἱ πόρναι, ἀπὸ πόρνης ἐν Μεγαρεῦσιν
οὕτω καλουμένης. Ἴσως ἐντεῦθεν καὶ σφίκται etc. Cf. Suid.

329 ΜΕΓΑ ΤΟ ΣΤΟΜΑ ΤΟΥ ἘΝΙΑΥΤΟΥ: Ἀντὶ τοῦ πολλῆς εὐφορίας F
γινομένης. Cf. Suid.

330 ΜΕΛΑΜΠΥΓΩΙ ΣΥΝΤΥΧΟΙΣ: Cf. Zen. Suid. Cod. ἐπὶ κατά-
ρας τίθεται. Θείας γὰρ τῆς Ὠκεανοῦ γεγόνασι παῖδες δύο, οἳ
καὶ λεγόμενοι Κέρκωπες. Τούτοις ἀπατῶσι πάντας εἶπεν ἡ
μήτηρ ἀπεύξασθαι μὴ περιτυχεῖν μελαμπύγῳ. Χρόνῳ δὲ ὕστερον G
τούτους ὁ Ἡρακλῆς, ἐξαπατῆσαι αὐτὸν πειραθέντας, λαβὼν καὶ
δήσας, ἔφερεν ἐπὶ τῶν ὤμων, ἄνω μὲν ἀναλαβὼν τοὺς πόδας, τὰς
δὲ κεφαλὰς κάτω, ἰδόντες δὲ τὴν πυγὴν τοῦ Ἡρακλέος μέ-
λαιναν, καὶ ἀναμνησθέντες τῶν τῆς μητρὸς λόγων, ἐγέλασαν· ἐφ'

οἷς ὀργισθεὶς ὁ Ἡρακλῆς καὶ συρράξας τῇ γῇ τὰς κεφαλὰς, ἀπ- A
έκτεινεν· ὅθεν καὶ ἡ παροιμία ἐλήφθη.

331 Μελίπηκτον: Εἶδος πλακοῦντος· καὶ παροιμία, Μελί-
πηκτα κύνες· ἐπὶ τῶν παρ' ἀξίαν τὰ κάλλιστα ἀπολαυόντων.

332 Μερὶς οὐ πνίξ: Ὅμοιόν ἐστι τῷ, ἰσότης φιλότης, τῶν δυ-
νατ. ἁρπαζόντων—πνιγομένων. Cf. Suid. B

333 Μετὰ Λέσβιον ᾠδόν: Cf. Suid. Cod. ἐπὶ τῶν τὰ δεύτερα
φερομένων. Λακεδαιμονίων γάρ ποτε παρὰ τὰς συνουσίας ἐξυβρι-
ζόντων εἰς σφᾶς αὐτοὺς, καὶ πυθομένων πῶς ἂν τὸ κακὸν τῆς
ὕβρεως λυθείη, ἔχρησεν Ἀπόλλων, τὸν Λέσβιον ᾠδὸν μεταπέμ-
πεσθαι· τὸν δὲ Τέρπανδρον ἐκ Λέσβου μεταπεμψαμένων, καὶ διὰ C
τούτου παρὰ τὰς εὐωχίας ὑπὸ τῆς μουσικῆς ἁρμοζομένων τὰς ψυ-
χὰς, λῆξαι τὸ κακὸν, καὶ τὴν παροιμίαν ληφθῆναι.

334 Μέτωνος ἐνιαυτός: Ἐν ᾧ ἐκλείπουσι τὰ νοσήματα, οὗτος
γὰρ ἄριστος ἰατρὸς ἦν. Cf. Suid.

335 Μηδὲ μέλι, μηδὲ μελίσσας: Ἐπὶ τῶν δι' ὀλίγον καλὸν D
μεγάλοις κακοῖς περιπεσοῦσι. Cf. Suid.

336 Μηδὲν ὑπὲρ τὰ καλάποδα: Ἀντὶ μηδὲν ὑπὲρ τὸ μέτρον.
Καλάποδον γάρ ἐστι τὸ τοῦ σκυτέως. Μύρριχον γὰρ τὸν σκυτέα
φασὶ τοῦτο εἰπεῖν.

οι
337 Μηδ' ἄκανθα ἀμύξει: Λείπει τοὺς ἀγαθούς. Cf. Suid. E

338 Μήλειος Ἡρακλῆς: Ἐπὶ τῶν εὐτελῶν· ἦν γὰρ ἄγαλμα
Ἡρακλέους ᾧ μόνα μῆλα καρποὺς ἔθυον. Cf. Suid.

339 Μήτε νεῖν, etc.: Cf. Suid. Cod. addit in f. δύο δὲ αὗται
μόναι τέχναι παρὰ Ἀθηναίοις ἠσκοῦντο, καὶ οἱ μὲν ἀστοὶ ἐλλόγι-
μοι ἦσαν, οἱ δὲ δημοτικώτεροι, ναυτικοί. F

340 Μία χελιδὼν ἔαρ οὐ ποιεῖ: Ἐπὶ τῶν σπανίως φαινομένων.
Cf. Suid. καὶ μία μέλισσα μέλι οὐ ποιεῖ.

341 Μία ἡμέρα σοφὸν οὐ ποιεῖ.

342 Μικρὸς ὄνος ἀεὶ πῶλος: Ἐπὶ τῶν διὰ βραχύτητα ἡλικίας
νέων νομιζομένων. Cf. Suid. G

343 Μόχθος οἱ τηλοῦ φίλοι: Παροιμία· καὶ

Τηλοῦ φίλοι ναίοντες οὐκ εἰσὶ φίλοι.

344 Μῦς πίσσης γεύεται: Ἐπὶ τῶν νεωστὶ ἀπαλλασσόντων κατὰ
τὴν Τηλέφου ἀποδημίαν. Cf. Suid.

345 Μωμήσεται μᾶλλον ἢ μιμήσεται: Ἐπὶ τῶν τὰ καλὰ βασκαινόντων. A

346 Νάννακος: Ὄνομα κύριον. Οὗτος παλαιὸς ἦν, ὅθεν καὶ παροιμία· Ναννάκου παλαιότερος.

347 Ναύπακτον βλέπει: Ἐπὶ τῶν ὀργίλως καὶ πολεμικῶς προσχόντων. B

348 Νέα χελιδών: Ἐπὶ τῶν ἐξαπατώντων τινάς.

349 Νεμέας αὐλητρίδος: Ἐπὶ τῆς καλῶς αὐλούσης, καὶ Νεμέας σέλινα: τὰ καλά.

350 Νίκα τὸν ὀνηλάτην (Cf. Suid.): Πρὸς τὸν μὴ βουλόμενον ἀποστῆναι τοῦ κτήνους, ἀλλ' ἑαυτὸν προϊέμενον εἰς ἀπώλειαν. C Τοὺς οὖν φεύγοντας τὸν σωφρονιστὴν λόγον, διὰ ταύτης λοιδοροῦμεν λέγοντες, "νικᾷ τὸν ὀνηλάτην."

351 Νῦν εἰς χορὸν ἦλθον: Ἐπὶ τῶν ἀρνουμένων.

352 Νῦν οἱ θεοὶ μάκαρες: Ἐπὶ τῶν ἀξίως ὧν ἐπλημμέλησαν ὑπὸ τοῦ θείου τιμωρουμένων. D

353 Νῦν σωθείην ἵν' ἦι μοι διδάγματα ταῦτα τοῦ λοιποῦ χρόνου: Cf. Suid. Cod. addit, ὅμοιον τῷ· "ῥεχθὲν δέ τε νήπιος ἔγνω."

354 Νῶι πείθου: Παροιμία ὁμοία "τῷ θεῷ πείθου" ἢ "ἕπου."

355 Ξύλον ἀγκύλον οὐδέποτ' ὀρθόν: Ἐπὶ τοῦ μὴ διορθουμένου. E

356 Ξυρὸς εἰς ἀκόνην: Ὁμοία τῇ "ἵππος εἰς πεδίον" καὶ "δαλὸς εἰς πῦρ."

357 Ὁδοῦ παρούσης, τὴν ἀτραπὸν μὴ ζήτει: Ἐπὶ τῶν προδήλων. Cf. Suid. F

358 Ὁ ἐν Πάρωι βωμός: Ἐπὶ τῶν πολυτελῶς κατεσκευασμένων.

359 Οἰναῖοι τὴν Χαράδραν: Ἐπὶ τῶν ἐπ' ὠφελείᾳ κινησάντων τὶ, βλαβέντων δέ. Οἴνη γὰρ τόπος τῆς Ἀττικῆς. Ταύτην δὲ τοὺς γεωργοὺς παροχετεύσαντας τὴν ἄνωθεν φερομένην χαράδραν G ἀρδεύειν τὰ δένδρα καὶ τὰς ἀμπέλους, ὕδατος δὲ πολλοῦ γενομένου καταρραγέντα τὸν ποταμὸν διαφθεῖραι τὰς ἀμπέλους καὶ τὰ δένδρα. Cf. Suid. κοίτης

360 Ὁ κάνης τῆς τύχης ὑπερέχει: Ἐπὶ τῶν τὰ μὴ ἀναγκαῖα

μείζω καὶ πλείω τῶν ἀναγκαίων κεκτημένων. Κοίτη γὰρ ἡ κίστη A
εἰς ἣν τὰ βρωτὰ ἐμβάλλουσιν, κάνης δὲ, τὸ ἐπίθεμα τῆς κοίτης.
Cf. Suid.

361 Ὁ Λυδὸς τὸν ὄνον ἐλαύνει: Ἐπὶ τοῦ παρ' ἀξίαν τὶ πράττοντος, παρ' ὅσον ἱππικώτατοι οἱ Λυδοί. Ὁμοία ταύτῃ καὶ ἡ "ἀφ' ἵππων ἐπ' ὄνους." B

362 Ὀλυμπικὴ στοά: Ἐπὶ τοῦ λάλου, ἢ ὅτι εἰκὸς ἔχειν τὴν στοὰν ἀντῳδὸν ἠχὼ, ἢ διὰ τὰς τῶν ἐκεῖ συνηγμένων βοάς.

363 Ὄμφακας βλέπει: Ἐπὶ τῶν δριμὺ βλεπόντων καὶ ὀργιζομένων.

364 Ὄνος ἀκροᾶται σάλπιγγος, καὶ ὄνος λύρας οὐκ ἐπαΐει, C
οὐδὲ σάλπιγγος ὗς:

365 Ὄνος ἐν μελίτταις: Ἐπὶ τῶν ὑπὸ συκοφαντῶν ἢ πονηρῶν ἀνδρῶν παραλαμβανομένων.

366 Ὄνος εἰς ἄχυρα: Ἐπὶ τῶν ἀδηφάγων.

367 Ὄνος ἐν μύροις: Ἐπὶ τῶν ἀναξίως ἐν τρυφαῖς διαγόντων. D

368 Ὄνος εἰς Ἀθήνας: Ἐπὶ τῶν ἀπαιδεύτων.

369 Ὄνος τὰ Μελιταῖα: Πρὸς τοὺς κατὰ ζῆλον μηδὲν μὲν ὅμοιον ποιοῦντας, παραπολαύοντας δὲ μᾶλλον κακῶν. Φασὶ γὰρ ὄνον ἰδόντα κυνίδιον προσπαῖζον τῷ δεσπότῃ, ἐθελῆσαι μιμήσασθαι, ἐπάραντα δὲ τὰ σκέλη πηδαρίζειν (πυδαρίζειν), συντρίψαι τὰ οἰ- E
κητήρια σκεύη, πληγὰς δὲ διὰ τοῦτο λαβεῖν πολλάς.

370 Ὄνος ἐν πιθήκοις: Ἐπὶ τῶν αἰσχρῶν ἐν αἰσχροῖς.

371 Ὄνου παρακύψεως: Ἐπὶ τῶν μάτην ἐγκαλουμένων. Ὀρνίθων γάρ τινων ἐν οἰκίᾳ τρεφομένων πολλῶν, καὶ τῆς μὲν θύρας κεκλεισμένης οὔσης τοῦ οἴκου, μικροῦ δὲ παραθυρίου ἐν αὐτῇ F
ἀνεωγότος, ὄνος παριὼν μὴ κρατοῦντος τοῦ ὀνηλάτου, καὶ παρακύψας διὰ τῆς θυρίδος, ἀνεσόβησε τὰς ὄρνιθας πτοηθείσας· αἱ δὲ ἀναπτᾶσαι, τὸν ἱστὸν τοῦ τὸ δωμάτιον ἔχοντος διέρρηξαν· ἐντεῦθεν εἰς κριτήριον ἀγόμενος ὁ ὀνηλάτης καὶ ἐρωτώμενος διατί ἄγοιτο, ἔλεγεν, "ὄνου παρακύψεως," καὶ ὁ λόγος εἰς παροιμίαν G
ἐλήφθη. Cf. Suid.

372 Ὄνου πόκαι: Ἐπὶ τῶν ἀχρήστων, ἢ εἰς ἀδύνατον ὑπερβαλλομένων. Ἀρίσταρχος γὰρ Κρατῖνον ὑποθέσθαι φησὶ τινὰ ἐν ᾅδου σχοινίον πλέκοντα, ὄνον δὲ τοῦτο κατεσθίοντα. Ἐστὶ δὲ

καὶ χωρίον φασὶν Ἕλληνες ἐν ᾅδου καλούμενον ὄνου πόκαι. A
Cf. Suid.

373 Ὄνου σκιά: Νεανίσκος Ἀθήνηθεν εἰς Δελφοὺς ὄνον ἐμισθώ-
σατο, καὶ μεσημβρίας καταλαβούσης, καὶ τοῦ ἡλίου σφοδρότερον
ἐκκαίοντος, τῆς ὁδοιπορίας ἔστησαν, γυμνοῦ δὲ σκιᾶς ὄντος τοῦ
τόπου, ὑπέδυ τὴν τοῦ ὄνου σκιὰν ὁ νεανίσκος. Ὁ δὲ ὀνηλάτης B
ἐκώλυε, ὄνον οὐχὶ σκιὰν λέγων αὐτὸν μεμισθωκέναι. Λέγεται
δὲ ἡ παροιμία ἐπὶ οὐθενείας καὶ ματαίας φιλονεικίας. Cf. Suid.

374 Ὀξηρὸν ἄγγος οὐ μελιττοῦσθαι πρέπει: Ἐπὶ τοῦ ἀναξίου.
Σοφοκλῆς Ἰφιγενείᾳ.

375 Ὄξος ἠκρατισμένον: Ἐπὶ τῶν ὀργίλων καὶ δριμυτάτων. C

376 Ὀξύτερον οἱ γείτονες βλέπουσι τῶν ἀλωπέκων: Ἐπὶ
τῶν λανθάνειν μὴ δυναμένων.

377 Ὀξύτερον λυγκέως βλέπει: Ἐπὶ τῶν τὰ πόρρωθεν ἀκριβῶς
ὁρώντων.

378 Ὅρκος ἀφροδίσιος συγγινώσκεται: Παρ' ὅσον οἱ ἐρῶντες εὐ- D
χερῶς ὀμνύουσι.

379 Ὁ Σικελικὸς τὴν θάλασσαν: Ἡ ὁ Σικελὸς σῦκα τὴν θά-
λασσαν. Ἐπὶ τῶν χαριεντιζομένων πρὸς τοὺς ἀδικήσαντας. Σῦκα
γὰρ Σικελός τις ἐμπορευόμενος, ναυαγήσας ἐξέπεσε, καὶ καθήμενος
ἐπὶ πέτρας, ὡς εἶδε τὴν θάλασσαν γαληνιάζουσαν, οἶδα φησὶν ὃ E
θέλεις, σῦκα θέλεις. Cf. Suid.

380 Ὀστράκου περιστροφή: Παροιμία ἐπὶ τῶν ταχέως τι ποι-
ούντων λεγομένη· εἴρηται δὲ ἀπὸ παιδιᾶς τοιαύτης· διελόντες
ἑαυτοὺς οἱ παῖδες ὡς ἰσαρίθμους ἑκατέρους γενέσθαι, οἱ μὲν πρὸς
ἀνατολὴν ἵσταντο, οἱ δὲ εἰς δυσμάς, ἄλλος δέ τις μεταξὺ ἑκα- F
τέρων καθήμενος ὄστρακον εἶχεν, ἐκ μὲν τοῦ ἑνὸς μέρους κεχρισ-
μένον λευκῇ, ἐκ δὲ θατέρου μέλανι. Καὶ ἔρριπτε τοῦτο ὀρθόν, καὶ
εἰ μὲν κατεφέρετο τὸ λευκὸν μέρος ἄνω, οἱ πρὸς ἀνατολὰς ἑστῶτες
ἐδίωκον τοὺς πρὸς δυσμάς· εἰ δὲ τὸ μέλαν ἄνω, οἱ ἐκ δυσμῶν ἐδίωκον,
ἕως καταλάβοιεν. Καταλαβόντες δὲ ἐβαστάζοντο ὑπ' αὐτῶν, ἕως G
οὗ ἐπανέλθωσιν ἐπὶ τὸν τόπον ἀφ' οὗ τὴν ἀρχὴν ἔφυγον. Cf. Suid.

381 Ὅταν τὸ ὕδωρ πνίγῃ, τί δεῖ ἐπιπνίγειν: Παρεγγυᾶται
μὴ τοὺς δυστυχοῦντας κατεπεμβαίνειν.

382 Οὐδὲν ἀνδρῶν λευκῶν ὄφελος ἢ σκυτοτομεῖν: Ἐπὶ τῶν

εἰς μηδὲν λυσιτελούντων, παρ' ὅσον οἱ μέλανες τῶν λευκῶν λυσιτε- A
λέστεροι.

383 ΟΥΔΕΝ ΠΡΟΣ ΤΟΝ ΔΙΟΝΥΣΟΝ: Ἐπὶ τῶν τὰ μὴ προσήκοντα τοῖς ὑποκειμένοις λαλούντων. Τῆς γὰρ ποιήσεως τὸ πρῶτον ἐκ διθυράμβου τὴν καταρχὴν εἰληφυίας, καὶ τὰ πρὸς τὸν Διόνυσον ἀνήκοντα πραγματευομένης, Ἐπιγένης ὁ Σικυώνιος οὐχ οὕτω B
ποιήσας, ἤκουσε τοῦτον τὸν λόγον· οὐδὲν πρὸς τὸν Διόνυσον. Cf. Suid.

384 ΟΥΔΕ ΤΑ ΤΡΙΑ ΣΤΗΣΙΧΟΡΟΥ ΓΙΝΩΣΚΕΙΣ: Ἐπὶ τῶν ἀπαιδεύτων καὶ ἀμούσων· τρία δ' ἂν εἴη, αἱ δύο ἀντίστροφοι καὶ ἡ ἐπῳδὸς, δι' ὧν σύγκειται τὰ λυρικὰ ποιήματα. Cf. Suid. C

385 ΟΥΔΕΝ ΑΡΧΑΙΟΝ ΠΟΙΕΙ: Ἐπὶ τῶν εἰς μηδὲν συντελούντων.

386 ΟΥΤΕ ΓΗΣ ΟΥΤΕ ΟΥΡΑΝΟΥ ΑΠΤΕΤΑΙ: Ἐπὶ τῶν περιττῶν, καὶ μηδὲν πρὸς τὸ πρᾶγμα συντελούντων.

387 ΟΥΔΕ ΤΩΝ ΤΑ ΠΥΘΑΓΟΡΟΥ ΜΥΘΟΛΟΓΟΥΝΤΩΝ ΗΚΟΥΣΑΣ: Ἐπὶ τῶν πάσης ἀλλοτρίων παιδείας. D

388 ΟΥΔΕΝ ΟΦΕΛΟΣ ΑΠΟΡΡΗΤΟΥ ΚΑΙ ΑΦΑΝΟΥΣ ΜΟΥΣΗΣ: Ἐπὶ τῶν τὴν σιωπὴν ἀσκούντων.

389 ΟΥΔ' ΟΣΟΝ ΑΗΔΟΝΕΣ ΥΠΝΟΙ: Ἐπὶ τῶν ἀγρυπνούντων· θήλη γὰρ οὖσα ἡ ἀηδὼν ἀγρυπνεῖ.

390 ΟΥΚ ΑΞΙΟΝ ΤΟ ΠΡΑΓΜΑ ΤΗΣ ΑΓΡΥΠΝΙΑΣ: Ἐπὶ τῶν μεγάλα E
μοχθούντων ἐπὶ εὐτελεῖ.

391 ΟΥΚΑΙ (sic) ΧΕΛΩΝΑΙ ΔΙΑ ΜΙΑΣ ΠΑΣΑΙ ΠΛΕΑΙ: Ἐπὶ τῶν διά τινος εὐεργετουμένων. Φασὶ γὰρ ὁπόταν μία χελώνη (sic) αἱ λοιπαὶ ἀπὸ τῆς οὐρᾶς αὐτῆς πίνουσι. Τὸ οὖν πλέαι ἀντὶ τοῦ πεπληρωμέναι. F

392 ΟΥΚ ΑΠΕΙΡΩΙ ΠΡΟΣΕΒΑΛΕΣ: Ἐπὶ τῶν οἰομένων μὲν ἐξαπατᾶν, φωραθέντων δέ.

393 ΟΥΚ ΑΓΑΠΑΙ ΓΡΑΥΣ ΘΑΝΟΥΣΑ, ΑΛΛΑ ΚΑΙ ΠΡΟΣΕΚΦΕΡΕΙΝ ΚΕΛΕΥΕΙ: Ἐπὶ τῶν οὐκ ἀρκουμένων οἷς ἔλαβον, ἀλλὰ καὶ πλείω ζητούντων. G

394 ΟΥ ΠΑΝΤΟΣ ΑΝΔΡΟΣ ΕΣ ΚΟΡΙΝΘΟΝ ΕΣΘ' Ο ΠΛΟΥΣ: Ἐπὶ τῶν μὴ δυναμένων τοῖς ἄλλοις τὰ αὐτὰ ποιεῖν. Ἐπεὶ μόνων τῶν πλουσίων ἦν καταίρειν εἰς Κόρινθον διὰ τὰς πόρνας.

395 ΟΥ ΦΡΟΝΤΙΣ ἹΠΠΟΚΛΕΙΔΗΙ: Ἱπποκλείδης λαβὼν εἰς γυναῖκα

τὴν θυγατέρα Κλεισθένους, καὶ ἐν αὐτῷ τῷ γάμῳ ὀρχησαμένης A
τῆς θυγατρὸς Μεγαλκοῦς καὶ ἀρεσάσης αὐτῷ, ἐκείνην ἀφεὶς ταύτῃ συνεζύγη. Τοῦ δὲ Μεγαλκοῦς λέγοντος, μεμφθήσῃ τῇ πράξει, αὐτὸς ἀπεκρίνατο· οὐ φροντὶς Ἱπποκλείδῃ. Cf. Suid.

396 Ὀψὲ θεῶν ἀλέουσι μύλοι, ἀλέουσι δὲ λεπτά: Ἐπὶ τῶν ὀψιαίτατα καὶ βραδέως παρεχόντων δίκην, ὧν ἐπλημμέλησαν. B

397 Ὀψ' ἦλθες, ἀλλ' ἐς τὸν Κολωνὸν ἵεσο: Ἐπὶ τῶν καθυστεριζόντων καὶ βραδέως ἐρχομένων, παρ' ὅσον τῶν μισθωτῶν τοὺς ὀψὲ ἐλθόντας πάλιν ἀπέλυον ἐπὶ τὸ μισθωτήριον. Τὸ δὲ ἦν ἐπὶ τῶν κολωνῶν. Cf. Suid.

398 Ὄψις ἀδήλων τὰ φαινόμενα: Παροιμία.

ΠΑΡΟΙΜΙΑΙ ΔΗΜΩΔΕΙΣ

ΕΚ ΤΗΣ

ΔΙΟΓΕΝΙΑΝΟΥ ΣΥΝΑΓΩΓΗΣ.

I. 1 Ἀβυδηνὸν [a]ἐπιφόρημα: Ἐπὶ τῶν ἀηδῶν [b]εἴωθε τάττεσθαι. A
Ἔθος γὰρ τοῖς Ἀβυδηνοῖς μετὰ [c]τὸ δεῖπνον καὶ τὰς σπονδὰς προσάγειν τοὺς παῖδας μετὰ τῶν τιτθῶν τοῖς εὐωχημένοις. Κεκραγότων δὲ τῶν παίδων, καὶ θορύβου γενομένου, ἀηδίαν πολλὴν εἶναι τοῖς δαιτυμόσιν.

2 Ἄβρωνος βίος: Ἄβρων τὶς ἐγένετο πλούσιος καὶ ἀβροδίαιτος. B
Ὅθεν ἡ παραβολὴ ἐπὶ τῶν πολυτελῶν τάττεται. Ταῦτα καί, Σικελικὴ τράπεζα· καί, Συβαριτικὸς βίος.

3 Ἀγορὰ Κερκώπων: Ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων. Κέρκωπες γάρ τινες ἀπατεῶνες ἐγένοντο ἐν Ἐφέσῳ, οἵτινες καὶ τὸν Δία ἐξαπατῆσαι πεπείρανται. Ὁμοία τῇ, Λύκων δεκάς· καί, C
[d]Κροβύλου ζεῦγος.

4 Ἀγαθὴ καὶ μάζα μετ' ἄρτον: Ἐπὶ τῶν τὰ [e]δεύτερα τισὶ διδόντων· [f]ὁμοία, [g]Δέχεται καὶ βῶλον ἀλήτης.

5 [h]Ἂν μὴ παρῇ κρέας, ταρίχοι στερκτέον:

6 Ἀγαμέμνονος θυσία: Ἐπὶ τῶν δυσπειθῶν καὶ σκληρῶν· D
Ἀγαμέμνων γὰρ τὴν [i]αὐτοῦ [k]ἐθυσίασε θυγατέρα· ἢ ὅτι βοῦν αὐτοῦ θύοντος, ἔφυγε, καὶ μόλις κρατηθεὶς εἰσήχθη.

7 Ἀγαθώνειος αὔλησις: Ἡ μαλθακή, καὶ μήτε χλιαρά, μήτε πικρά, ἀλλ' ἡδίστη.

[a] ἐπιφόρημα] ἐπιφώνημα c.
[b] εἴωθε] Seqq. om. c.
[c] τὸ δεῖπνον] τὸν δεῖπνον g.
[d] Κροβύλου] κρομύλου g.
[e] ὕστερα] δεύτερα b. c. g.
[f] ὁμοία] ὁμοία τῇ g.
[g] Δέχεται καὶ βῶλον ἀλήτης] Refert historiam Pausanias in Corinthiacis, et in Problematis Plutarchus. SCHOTT. v. ad Zenob. III. 22.
[h] Ἂν μὴ παρῇ] Refertur a Suida, moneri quemque ut sua contentus sorte vivat. De taricho Desiderius Chil. Cent. 4. Chil. II. Adag. 62. SCHOTT.
[i] αὐτοῦ] ἑαυτοῦ g.
[k] ἐθυσίασε] Sic Palat. cod. at

8 Ἀγέλαστος πέτρα: Ἐπὶ τῶν λύπης προξένων ἡ παροιμία· ἐπ' αὐτῆς γὰρ ἐκάθισεν ὅτε τὴν κόρην ἐζήτει ἡ Δημήτηρ. Ὁμοία, [l] Στεγανώτερος Ἀρεοπαγίτου. Καὶ, Ἐς Τροφωνίου μεμάντευσαι. A

9 Ἀγαθὰ [m] Κιλίκων: Ἐπὶ τῶν ἀπὸ τῶν οὐ προσηκόντων πλουτούντων. Προδότης γάρ τις τῶν Κιλίκων Μίλητον προδοὺς, ηὐπόρησεν. Ὅμοιον, Ἀπὸ νεκρῶν φορολογεῖν. B

10 Ἀγαθῶν θάλασσα: Ἐπὶ πλήθους ἀγαθῶν. Ὡς καὶ τὸ, Ἀγαθῶν σωρὸς, καὶ, Ἀγαθῶν μυρμηκία. Ἐπὶ πλήθους γὰρ εὐδαιμονίας καὶ τοῦτο. Τὰ ἐναντία· Κακῶν Ἰλιὰς, καὶ, Λέρνη κακῶν. C

11 Ἁγνότερος πηδαλίου: Ἐπὶ τῶν ἁγνῶς βεβιωκότων. Παρ' ὅσον ἐν θαλάσσῃ ἐστὶν ἀεὶ τὸ πηδάλιον.

12 [n] Ἀγροίκου μὴ καταφρόνει ῥήτορος: Ὑποθετική. Ὅτι μηδὲ τῶν εὐτελῶν χρὴ καταφρονεῖν. Ὅμοιόν ἐστι, Κἂν μύρμηκι [o] χολή. D

13 [p] Ἀγναμπτότερος βάτου Αἴου: Ἐπὶ τοῦ ξηροῦ καὶ αὐθάδους τὸν τρόπον.

14 [q] Ἀδώνιδος κῆποι: Ἐπὶ τῶν ἀώρων καὶ μὴ [r] ἐρριζωμένων.

Pet. Pantini viri clariss. ἐβούλετο θυσίασθαι. Et seq. proverb. ἡ μαλακὴ καὶ μήτε χαλαρά. SCHOTT.

[l] Ex στεναγώτερος, στεγανώτερος emendavi: de qua voce in Pandectas G. Budæus, qui ex Alciphronis epistola [I. 13.] ut et Erasmus et Io. Alex. Brassicanus proverbium adhibent. De Trophonii vero specu multa idem Eras. ex Aristoph. interprete, et Zenobio. SCHOTT.

[m] Κιλίκων] De Cilicibus et his finitimis Isauris latrocinio infamibus plenæ historiæ; ac de bello Romanorum cum Isauricis piratis a Cn. Pompeio Magno confecto M. Tullius in Maniliana, et L. Florus lib. III. cap. 6. referunt. Ut simile illi sit, quod et M. Plautus, idemque initio Philippicæ secundæ Cicero exagitat: *Male partum male disperit.* De altero Aristoteles Rhetor. II. ad Theodectem [c. 6.] Οἷον πενήτων καὶ τεθνεώτων, ὅθεν καὶ ἡ παροιμία, Τὸ καὶ ἀπὸ νεκροῦ φέρειν. Αἰσχροκερδίας γάρ. Et illud affine: *Vectigal e statuis exigere.* SCHOTT.

[n] Ἀγροίκου] Meminit adagii utriusque Zenobius, ubi plura notabamus. Mox 13. in Pantini V. Cl. cod. est σκληροῦ, pro ξηροῦ. SCHOTT.

[o] χολὴ] σχολὴ g.

[p] Ἀγναμπτότερος] Ἀγναπτότερος g. Ἀγναπτότερος c.

[q] Ἀδώνιδος] Usum parœmiæ Suidas et Pausanias ostendunt: Zenobius item, et Plutarchus De sera numinis vindicta. SCHOTT. v. Schol. Platon. p. 68. Simplic. ad Aristot. de Cœlo p. 6 b. Vid. ad Suidam p. 96 E.

[r] ἐρριζωμένων] ἐρριζομένων g.

Ἐπειδὴ γὰρ [s]Ἄδωνις ἐρώμενος ὤν, ὡς ὁ μῦθος, τῆς Ἀφροδίτης, A
προήβης τελευτᾷ, οἱ ταύτῃ ὀργιάζοντες, κήπους εἰς ἀγγεῖά τινα φυτεύοντες ἢ φυτεύουσαι, ταχέως ἐκείνων διὰ τὸ μὴ ἐρριζῶσθαι μαραινομένων, Ἀδώνιδος αὐτοὺς ἐκάλουν.

15 ΑΥ̓ΛῸΝ ΣΆΛΠΙΓΓΙ ΣΥΓΚΡΊΝΕΙΣ: Ἐπὶ τῶν τὰ ἐλάττω τοῖς μείζοσι συγκρινόντων. "[t]Τέττιγι μέλιτταν συγκρίνεις," κατὰ B
φωνήν.

16 [u]ἈΔΕῈΣ ΔΈΟΣ: Ἐπὶ τῶν μάτην δεδιότων.

17 [v]ἈΛΗΛΕΣΜΈΝΟΣ ΒΊΟΣ ΚΑῚ ΜΕΜΑΓΜΈΝΟΣ: Ἐπὶ τοῦ ἑτοίμου καὶ προχείρου.

18 [x]ἌΣΠΑΡΤΑ ΚΑῚ ἈΝΉΡΟΤΑ: Ἐπὶ τοῦ ὁμοίου. C

19 ἌΛΛΗΝ ΔΡΥ͂Ν ΒΑΛΆΝΙΖΕ: Ἐπὶ τῶν ἐνδελεχῶς [y]αἰτούντων, ἢ ἐπὶ τῶν συνεχῶς δανειζομένων. Οἱ γὰρ παλαιοὶ βαλάνοις ἔζων· πρὸς οὖν τοὺς περισκοποῦντας τὰς δρῦς, εἴτε πλήρεις εἶεν εἴτε κεναί, ἌΛΛΗΝ ΔΡΥ͂Ν ΒΑΛΆΝΙΖΕ, ἔλεγον.

20 ἌΛΛΟΣ ΒΊΟΣ, ἌΛΛΗ ΔΊΑΙΤΑ: Ἐπὶ τῶν ἐπ' ἀμείνονα βίον D
μεταβαλλομένων.

21 ἍΛΑΣ ἌΓΩΝ ΚΑΘΕΥΔΕΙΣ: Ἐπὶ τῶν ἐν κινδύνοις ῥαστωνευομένων. Ἐμπόρου γάρ τινος ἅλας ἄγοντος ἀποκαθευδήσαντος, συνέβη τὴν ἀντλίαν ἐπαναβῆναι, καὶ τῆξαι τὸν ἅλα.

22 ἈΙΔΕΙΣ ὩΣ ΕἸΣ ΔΗ͂ΛΟΝ ΠΛΈΩΝ: Ἐπὶ τοῦ ὁμοίου. E

23 ἌΛΛΟΤΕ Δ' ἈΛΛΟΙ͂ΟΝ ΤΕΛΈΘΕΙΝ ΚΑῚ [z]ΧΏΡΑΙ ἝΠΕΣΘΑΙ: Ὅτι προσήκει ἐξομοιοῦν ἑαυτὸν ἐν οἷς ἂν γένοιτο τόποις. Εἴρηται δὲ ἀπὸ τῶν πολυπόδων· οὗτοι γὰρ [a]ᾗ ἂν πλησιάσωσι πέτρᾳ, φόβου κατεπειγόντος, εἰς τὸ αὐτῆς εἶδος τὸ ἑαυτῶν μεταβάλλουσιν. Ὅμοιον, ΠΟΛΎΠΟΔΟΣ ΠΟΛΥΧΡΌΟΥ ΝΌΟΝ ἼΣΧΕ. F

s Ἄδωνις] Ἀδώνιδος g.

t Τέττιγι] Addendum videtur ὅμοιον, Τέττιγι, vel quid simile. Lucianus in Rhetore [c. 13.] utramque expressit parœmiam: Τοσοῦτον ὑπὲρ φωνοῦντα εὑρήσεις, ὁπόσον ἡ σάλπιγξ τοὺς αὐλοὺς, καὶ οἱ τέττιγες τὰς μελίττας. SCHOTT.

u Ἀδεὲς] Simile illud Maronis IV. Æneidos ver. 298. *Omnia tuta timens*. SCHOTT. Schol. Platon. p. 48.

v Ἀληλεσμένος] Repetit infra, Βίος μεμαγμένος. SCHOTT.

x Ἄσπαρτα] Homer. Od. ί. 109.

y αἰτούντων] αἰτούντων τι b.

z χώραι] Dedi cum Zen. χώρᾳ.

a ᾗ] οὗ b.

24 [b]Ἀζαναῖα κακά: Ἐπὶ τῶν κακοῖς διηνεκῶς προσπαλαιόντων. Ἀζάνια γὰρ τόπος σκληρὸς, περὶ [c]ὧν πονοῦντες οἱ γεωργοὶ οὐδὲν πορίζονται. A

25 Ἀνάγυρον κινεῖς: Ἐπὶ τῶν κινούντων τινὰ ἐπὶ τῶν ἑαυτῶν κακῶν. Ἀνάγυρος γάρ τις ἥρως ἐπιχώριος τοὺς γειτονοῦντας ἐκ βάθρων ἀνέτρεψεν, ἐπειδὴ τὸ ἡρῷον αὐτοῦ [d]ὑβρίσαι ἐπεχείρησαν. B

26 [e]Ἀντρώνιος ὄνος: Ἐπὶ τῶν μεγάλων καὶ ἀγρίων καὶ ἀνενεργήτων. Ἐν Ἄντρωνι γὰρ, ὡς φησὶ Φερεκράτης, μεγάλοι ὄνοι ἐγένοντο. [f]Ἀχαρνικοὶ ὄνοι: Ἐπὶ τῶν αὐτῶν.

27 [g]Ἄνω ποταμῶν χωροῦσι πηγαί: Ἐπὶ τῶν ἐναντίως γενομένων ἢ λεγομένων. Οἷον, εἰ πόρνος τὸν σώφρονα λέγει πόρνον. C

28 [h]Ἀράβιος αὐλητής: Ἐπὶ τῶν ἀεὶ λαλούντων. Μετῆκται δὲ ἀπό τινος Ἀραβίου αὐλητοῦ, ὃς ηὔλει μὲν δραχμῆς, ἐπαύετο δὲ τεττάρων.

29 Ἀρκάδας μιμούμενος: Ἐπὶ τῶν ἄλλως πονούντων. Πολλὰ γὰρ οἱ Ἀρκάδες πολεμήσαντες, οὐδεμίαν νίκην ἰδίαν πώποτε ἔσχον. D

30 Ἀρχὴ Σκυρία: Ἐπὶ τῶν [i]εὐτελῶν καὶ μηδὲν λυσιτελὲς ἐχόντων. Πετρώδης γὰρ ἡ Σκῦρος.

31 Αἴθης πέπλος: [k]Ὑπὲρ τῶν ὑπεκκαιόντων καὶ στάσεις ἐγειρόντων καὶ διαβολάς. Δηϊάνειρα γὰρ πέπλον πέμψασα Ἡρακλεῖ, τούτῳ διέφθειρεν αὐτόν. E

32 Αἵμασι [l]κλαίειν: Καθ᾽ ὑπερβολὴν, οὐ δακρύοις, ἀλλ᾽ αἵματι κλαίειν.

[b] Ἀζαναῖα] De Azanæa Arcadiæ regione legendus Stephanus Byzantius περὶ πόλεων. SCHOTT.

[c] ὧν] ὃν g.

[d] ὑβρίσαι] Pro ὑβρίσαι in cod. Pantini ὑβρίσται leg. SCHOTT.

[e] Ἀντρώνιος] Vid. Schol. Ven. Il. β'. 697.

[f] Ἀχάρνικοι ὄνοι] Sic Apostolius, ἵπποι tamen legens: cum antea Ἄχαρνοι esset scriptum, peccante bis librario, vocis, ut fit, affinitate. SCHOTT.

[g] Ἄνω] Euripidis est in Medea, ut ad Zenobium notare memini. SCHOTT.

[h] Ἀράβιος] Ἀρράβιος hîc et infra b. g.

[i] Τελῶν est in Pantiniano, pro quo Palatinus εὐτελῶν. Et mox 31. est ἐπὶ τῶν ἐπεκκαιόντων. SCHOTT.

[k] Ὑπὲρ] ἐπὶ b.

[l] κλαίειν] καίειν g.

33 ΑἹΡΟΫΝΤΕΣ ᾙΡΗΜΕΘΑ: Ἐπὶ τῶν ἐλπισάντων [m]τινὰς νικᾶν, εἶθ' ὑπ' ἐκείνων ἁλόντων. A

34 Αἱ ΧΑΡΙΤΕΣ ΓΥΜΝΑΙ: Ὅτι δεῖ ἀφειδῶς χαρίζεσθαι.

35 Αἱ Ἰβύκου ΓΕΡΑΝΟΙ: Ἐπὶ τῶν ἀπροσδοκήτως [n]ἐπὶ τοῖς ἁμαρτήμασι κολασθέντων. Ἴβυκος γὰρ ὑπὸ τῶν λῃστῶν ἀναιρούμενος, καὶ γεράνους ἰδὼν, ἐμαρτύρατο. Χρόνῳ δὲ οἱ λῃσταὶ B θεώμενοι ἐν θεάτρῳ γεράνους ὑπεριπταμένους, Αἱ Ἰβύκου γέρανοι, ἔλεγον. Εἶτα ἁλόντες καὶ ἀνακριθέντες, ἐκολάσθησαν.

36 ΑὐΤΟῚ ΧΕΛΏΝΑΣ ἘΣΘΊΕΤΕ, ΟἽΠΕΡ ΕἽΛΕΤΕ: Ἐπὶ τῶν ἐξ ἀβουλίας τι πραττόντων, εἶτα βοηθείας δεομένων. Ἁλιεῖς γὰρ χελώνην ἀνασπάσαντες, ἐμέριζον· τὸν δὲ Ἑρμῆν παριόντα ἐπὶ C τὴν [o]ἑστίασιν ἐκάλουν· ὁ δὲ τοῦτο ἐφθέγξατο.

37 ΑἸΓΙΑΛῼ ΛΑΛΕΙ͂Σ: Ἐπὶ τῶν [p]ἀνηκοούντων.

38 ΑἸΘΈΡΑ ΝΉΝΕΜΟΝ ΑἹΡΉΣΕΙΣ: Ἐπὶ τῶν μάτην πονούντων.

39 Ἄϊδος ΚΥΝΗ͂: Ἐπὶ τῶν κρυπτόντων ἑαυτοὺς διά τινος μηχανῆς. Τοιαύτη γὰρ ἡ τοῦ Ἄϊδος κυνῆ, ᾗ Περσεὺς χρησάμενος τὴν D [q]Γοργὼ ἐδειροτόμησεν.

40 ΑἼΞ ΟὔΠΩ ΤΈΤΟΚΕΝ, ἜΡΙΦΟΣ Δ' ἘΠῚ [r]ΔΏΜΑΤΑ ΠΑΊΖΕΙ: Ἐπὶ τῶν οὔπω τεχθέντων, ἢ γεγονότων, ἀλλ' ἀτελῶν ὄντων, καὶ τὰ [s]τῶν τελείων θελόντων ποιεῖν.

41 ΑἸΆΝΤΕΙΟΣ ΓΈΛΩΣ: Ἐπὶ τῶν παραφρόνως γελώντων. E

42 [t]Ἀφύων ΤΙΜΉ: Ἐπὶ τῶν [u]ἐν μικροῖς παρ' ἄλλων τιμωμένων.

43 ἈΝΊΠΤΟΙΣ ΧΕΡΣΊΝ: Ἐπὶ τῶν βεβήλοις χερσὶ [x]τοῖς ἱεροῖς ἐγχειρούντων.

44 [y]ἌΕΙΔΕ ΤᾺ ΤΈΛΛΗΝΟΣ: Ἐπὶ τῶν σκωπτικῶν· Τέλλην γὰρ αὐλητὴς ἐγένετο, ὃς παίγνια κατέλιπε χάριν ἔχοντα. F

45 ΑἸΘΊΟΠΑ ΣΜΉΧΕΙΣ: Δῆλον τὸ τοιοῦτον. [z]Ὁμοῖα, ΧΎΤΡΑΝ ΠΟΙΚΊΛΛΕΙΣ, [a]ἈΣΚῸΝ ΤΊΛΛΕΙΣ.

[m] τινας om. g. c.
[n] ἐπὶ om. c.
[o] ἑστίασιν ἐκάλουν] ἑστίαν συνεκάλουν g.
[p] ἀνηκοούντων] ἀνηκούντων g.
[q] Γοργὼ] Γοργὴν g.
[r] δώματα] δώματος c. g. Mox ἢ γεγονότων om. g.
[s] τῶν τελείων] τῶν om. g. c.
[t] Ἀφύων] Pertinet ad Aristoph. Ach. 640.
[u] ἐν μικροῖς παρ' ἄλλων] μηδαμῶς c. ἐν om. g.
[x] τοῖς ἱεροῖς] τὰ ἱερὰ b.
[y] Ἄειδε] ᾆδε g.
[z] Ὁμοῖα] ὁμοῖον g.
[a] Pro ᾠὸν τίλλεις reposui ἀσκόν. Et Ad. 46. pro δυσαπονίπτοις Suid.

46 Αἰσώπειον αἷμα: Ἐπὶ τῶν δυσαπονίπτοις ὀνείδεσιν [b]ἐνεχο- A
μένων· ἐπειδὴ τοῖς Δελφοῖς ἀδίκως ἀνελοῦσι τὸν Αἴσωπον ὠργίσθη ὁ θεός.

47 Αἰγιεῖς οὔτε τρίτοι οὔτε τέταρτοι: Ἐπὶ τῶν παντελῶς [c]εὐτελῶν καὶ μικρῶν. Ἐρωτώντων [d]γὰρ, τίνες κρείττους τῶν Ἑλλήνων; τοῦτο ἀντεφθέγξαντο· Αἰγιεῖς οὔτε τρίτοι οὔτε B
τέταρτοι.

48 Ἄκαιρος εὔνοια οὐδὲν ἔχθρας διαφέρει: Τοῦτό φασιν Ἱππόλυτον εἰπεῖν πρὸς Φαῖδραν, φάσκουσαν αὐτὸν φιλεῖν παρὰ πάντας ἀνθρώπους.

49 Ἀκάνθιος τέττιξ: Ἐπὶ τῶν ἀφώνων καὶ ἀμούσων· οὐκ C
ᾄδουσι γὰρ οἱ ἐκεῖσε τέττιγες. Ὅμοιον· Βάτραχος Σερίφιος, ἐπὶ τῶν αὐτῶν. Οὐκ ᾄδουσι γὰρ οἱ ἐν Σερίφῳ βάτραχοι.

50 Ἅλα καὶ κύαμον: Ἐπὶ τῶν εἰδέναι μὲν προσποιουμένων, οὐκ εἰδότων δέ. Ἐπεὶ οἱ μάντεις εἰώθασι τιθέναι τὸν ἅλα καὶ κύαμον. Ὅθεν καὶ τοὺς ἀπορρήτων κοινωνοῦντας, τοὺς περὶ ἅλα καὶ D
κύαμον ἔλεγον.

51 Ἀττικοὶ τὰ Ἐλευσίνια: Ἐπὶ τῶν τὰ ἀπόρρητα μυουμένων· οἱ γὰρ Ἀττικοὶ ἐν Ἐλευσῖνι ἐπετέλουν τὰ τῆς Δήμητρος μυστήρια.

52 Αἲξ τὴν μάχαιραν: Ἐπὶ τῶν ἑαυτοῖς λανθανόντως κακόν τι E
ἐπισπωμένων. Εἴληπται δὲ ἐξ αἰτίας τοιαύτης· Κορίνθιοι αἶγα τῇ Ἥρᾳ ἔθυον· κρυψαμένων δὲ τινῶν τὴν μάχαιραν, ἡ αἶξ τοῖς ποσὶ σκαλεύουσα, ἀνέφηνεν. Ὅμοιον, Κορώνη τὸν σκορπίον, Κόνιν [e]φυσᾷς, Εὖ κείμενον κακὸν κινεῖς, Λέοντα νύσσεις, Ἀνάγυρον κινεῖς. F

53 Ἄδακρυς πόλεμος: Ἐπὶ τῶν ῥᾷστα καὶ παρ' ἐλπίδα τὰ πράγματα κατορθούντων. Χρησμὸς γὰρ ἐδόθη Λακεδαιμονίοις, ἄδακρυν μάχην νικῆσαι· ὅθεν οὐδὲ εἷς τηνικαῦτα τούτων ἀπέθανεν.

54 Ἀδράστεια Νέμεσις: [f]Ἐπὶ τῶν πρότερον εὐδοκησάντων· G

præfert δυσαπορρίπτοις. SCHOTT.
ὧν b. g.
[b] ἐνεχομένων] ἐχομένων g.
[c] ἀτελῶν] εὐτελῶν b. c. om. g.
[d] γὰρ] γὰρ τινῶν b.
[e] φυσᾷς] φυσᾷν g.
[f] Ἐπὶ τῶν πρότερον εὐδοκησάντων] Rectius mea sententia Apostolius

ἀπὸ Ἀδράστου τοῦ [g] Θήβαις στρατεύσαντος καὶ μεγάλως σφαλέντος. Τὸ αὐτὸ καί, ΚΑΔΜΕΊΑ ΝΊΚΗ. A

55 ἈΔΗΦΆΓΟΝ ἍΡΜΑ: Ἐπὶ τῶν γαστριμάργων.

56 ἈΕΤΟΥ͂ ΓΗ͂ΡΑΣ, ΚΟΡΎΔΟΥ ΝΕΌΤΗΣ: Παρ' ὅσον καὶ γηράσκων ἀετὸς ἀμείνων ἐστὶ κορύδου νεάζοντος. Ὅμοιον· ῬΌΔΟΝ ἈΝΕΜΏΝΗΙ ΣΥΓΚΡΊΝΕΙΣ, ΚΑΡΚΊΝΟΝ ΔΑΣΎΠΟΔΙ, ΘΡΊΠΑΣ ἈΕΤΩ͂Ι, καί, B ΧΕΛΏΝΗΝ ΠΗΓΆΣΩΙ.

57 ἈΚΕΣΣΑΊΟΥ ΣΕΛΉΝΗ: Ἐπὶ τῶν εἰς χρόνον ἀναβαλλομένων πρᾶξαί τι. Ἦν δὲ κυβερνήτης, ὃς ῥάθυμος ὤν, ἔλεγε διὰ παντὸς ἀναμένειν σελήνην, ἵνα ἐν φωτὶ ὁ πλοῦς αὐτῷ γένηται.

58 ἈΕῚ ΓᾺΡ ΕΥ͂ ΠΊΠΤΟΥΣΙΝ ΟἹ ΔΙῸΣ ΚΎΒΟΙ: Ἐπὶ τῶν εἰς πάντα C εὐδαιμονούντων· ἢ ἐπὶ τῶν ἀξίως τιμωμένων.

59 ΑἸΤΝΑΙ͂ΟΣ ΚΆΝΘΑΡΟΣ: Ἐπὶ τῶν τῷ σώματι μεγάλων.

60 ἈΚΛΗΤῚ ΚΩΜΆΖΟΥΣΙΝ ΕἸΣ ΦΊΛΟΥΣ ΦΊΛΟΙ: Δήλη ἡ παροιμία. Καὶ ὁμοία τῇ, ΑΥ̓ΤΌΜΑΤΟΙ Δ' ἈΓΑΘΟῚ ἈΓΑΘΩ͂Ν ἘΠῚ ΔΑΙ͂ΤΑΣ ἼΕΝΤΑΙ. D

61 ἈΕῚ ΚΟΛΟΙῸΣ [h] ΠΡῸΣ ΚΟΛΟΙῸΝ ἹΖΆΝΕΙ: Ἐπὶ τῶν τοῖς ὁμοίοις προσομιλούντων. Συνδυαστικὰ γὰρ καὶ συναγελαστικὰ τὰ ζῶα.

62 ἌΛΙΣ ΔΡΥΌΣ: Ἐπὶ τῶν εἴς τινα βελτίονα δίαιταν μεταβαλλομένων. Τῶν γὰρ βαλάνων οἱ παλαιοὶ παυσάμενοι, μετεῖχον E σίτου καὶ οἴνου.

63 ἌΛΛΟΣ ΟΥ̓͂ΤΟΣ [i] ἩΡΑΚΛΗ͂Σ: Ἐπὶ τῶν ἰσχυρῶν καὶ [k] κραταιῶν ἡ παροιμία.

64 ἈΜΑΛΘΕΊΑΣ ΚΈΡΑΣ: Ἐπὶ τῶν πάντα τὰ καλὰ ἐν ἑαυτοῖς κεκτημένων. Ῥέα γὰρ τεκοῦσα τὸν Δία, ἔδωκεν Ἀμαλθείᾳ τρέφειν, F διὰ τὸ μὴ ὑπὸ Κρόνου καταβρωθῆναι τοῦ ἰδίου πατρός. Ἡ δὲ αἰγὶ αὐτὸν ὑπέβαλεν. Ὁ τοίνυν Ζεὺς μετὰ τὸ κατάξαι τῶν

P. Pantini integer, εὐδαιμονησάντων: addendumque ex eodem: ὕστερον δὲ δυστυχησάντων, itaque Suidas. SCHOTT. προδοκησάντων μὲν προβήσεσθαι τὸ πρᾶγμα καλῶς, ἀποσφαλέντων δὲ c.

[g] Θήβαις στρατεύσαντος] Θηβαίου στρατεύματος g.

[h] πρὸς] παρὰ c.

[i] Ἡρακλῆς] Vid. Plutarch. T. I. p. 14 A. Eustath. Il. ε'. p. 589, 41.

[k] κρατειῶν] Alter liber κραταιῶν. Et seq. adagio ibidem est, ἔδωκεν Ἀμαλθίαν. SCHOTT. κραταιῶν g. καρτερῶν c.

οὐρανῶν τὸν πατέρα, ἐγκρατὴς γενόμενος τῆς βασιλείας, τὴν μὲν A
αἶγα κατηστέρισε· τὸ δὲ ἕτερον τῶν κεράτων αὐτῆς ἀφελὼν παρέσχε τῇ Ἀμαλθείᾳ, παρασκευάσας γίνεσθαι αὐτῇ διὰ τοῦ κέρατος ὃ ἂν αἰτήσοι.

65 Ἀετὸν ἵπτασθαι διδάσκεις: Φανερὰ ἡ παροιμία. Ὅμοιον, Δελφῖνα νήχεσθαι διδάσκεις. Καί, Ἵππον εἰς πεδίον. B
[l]Ταχύτερος γάρ ἐστιν ἐν προσομάλῳ τόπῳ.

66 Ἀττικὸς εἰς λιμένα: Ἐπὶ τῶν μετὰ σπουδῆς ὃ ἐπίστανται ποιούντων. Οἱ γὰρ Ἀττικοὶ μέλλοντες [m]ἀπαίρειν [n]εἰς μάχην, καὶ τοῦ λιμένος ἐξιόντες, μετὰ σφοδρότητος ἤλαυνον πρὸς ἐπίδειξιν τῶν οἰκείων ὁρώντων. C

67 Ἀετὸς ἐν νεφέλαις: Ἐπὶ τῶν δυσαλώτων· οὐ γὰρ ἁλίσκεται ἀετὸς ἐν νεφέλαις.

68 Ἀεὶ φέρει τὶ Λιβύη κακόν: Ἐπὶ τῶν προσεξευρισκόντων ἀεὶ νεώτερόν τι κακὸν, καὶ κακούργων.

69 [o]Ἀμνία θερίζειν: Ἐπὶ τῶν χρόνῳ ὕστερον τιμωρουμένων. D
Ὅταν γὰρ ἀμνία ᾖ, οὐκ ἀποκείρεται.

70 Ἀεί με τοιοῦτοι πόλεμοι διώκοιεν: Ἐπὶ τῶν καταφρονούντων τινῶν. Ὅμοια,

Ἐγὼ πολλῶν [p]θηρίων ψόφους ἀκήκοα·
Πολλαῖς πληγαῖς δρῦς [q]δαμάζεται· E
Πολλά κεν εἰδείης, οἷς τὸν θεὸν ἐξαπατήσεις.

[l] Ταχύτερος] Ταχύτερον g.

[m] ἀπαίρειν εἰς μάχην] Alter cod. ἄπεραν πρὸς μάχην. SCHOTT.

[n] εἰς] πρὸς b.

[o] Ἀμνία] Erasmus [III. ii. 70.] *muscum demetere* reddit: Hen. Stephano non probat, qui etiam Eustathii [Od. ι'. p. 1627, 14.] locum tentat ἀμνεῖν, τὸ θερίζειν, ἐπὶ τῶν ἐκ διαλείμματος τιμωρουμένων. Τὰ γὰρ ἄρνια ἐν τῷ ἔαρι ἄκαρπα ἐᾶται. Vel potius ut τὶ πορίζομένων legatur, vel τὶ δωρουμένων. Mihi quod in mentem venit, candide proferam, ἄνευ ἀλαζονείας, citraque invidiam. Forte ἄρνια ex Eustathio hîc leg. aut ἀμνίδα: reponendumque in Eustathio ἀμνεῖα θερίζειν videatur. Vel hîc ἀμνία tantum *agnelli* sint; certe analogως ita ab ἀμνὸς deducas: ut sit *Agnellos demetere*, vel *tondere*. Ait enim mox: *cum agnelli sint eos non tonderi*: quasi præpostere id factum, et non suo tempore. Sed doctiores audiam libentius. SCHOTT. Vid. not. ad Hesych. v. Ἀμνεῖν.

[p] θηρίων] θρίων ex Schol. Aristoph. Vesp. 434. reddidit Valckenær. ad Eurip. Phœn. v. 397. p. 145.

[q] δαμάζεται] Pantini cod. μαλάζεται. SCHOTT.

71 Ἀετὸς θρίπας ὁρᾷν: Ἐπὶ τῶν ἀφροντιστούντων τῶν μικρῶν. A

72 Ἅμας ἀπῄτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας: Ἐπὶ τῶν ἄλλα μὲν ἀπαιτούντων, ἄλλα δὲ μὴ ἔχειν ἀρνουμένων.

73 Ἀνδραποδώδης θρίξ: Ἐπὶ τῶν ἠλιθίων· Πλάτων·

[r]Ἔχων τὰς ἀνδραποδώδεις ἐπὶ τῆς ψυχῆς τρίχας ὑπ' ἀμουσίας. B

74 Ἀνὴρ δὲ φεύγων οὐ μένει λύρας κτύπον: Ἐπὶ τῶν ταχέως καὶ ὀξέως ὀφειλόντων ἕκαστα πράττειν.

75 Ἀνδρὶ Λυδῷ πράγματα οὐκ ἦν, ἀλλ' αὐτὸς ἐξελθὼν ἐπρίατο: Ἐπὶ τῶν κακὰ ἑαυτοῖς ἐπισπωμένων. Κροῖσος γὰρ ἑαυτῷ πολέμιον [s]ἐπεσπάσατο Κῦρον. C

76 Ἀντὶ πέρκης σκορπίον: Ἐπὶ τῶν τὰ χείρω αἱρουμένων ἀντὶ τῶν βελτιόνων.

77 Ἀνεῳγμέναι [t]Μουσῶν θύραι: Ἐπὶ τῶν ἐξ ἑτοίμου λαμβανόντων τὰ κάλλιστα τῶν [u]ἐν παιδείᾳ.

78 Ἀνδρὸς γέροντος [x]αἱ γνάθοι βακτηρία: Ἐπὶ τῶν πρὸς [y]τὸ γῆρας πολλὰ ἐσθιόντων. D

79 Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι: Δήλη ἡ λύσις.

80 Ἄνθρωπος ἀνθρώπου δαιμόνιον: Ἐπὶ τῶν [z]ἀπροσδοκήτως ὑφ' ἑτέρων σωζομένων. E

81 Ἂν οἶνον αἰτῇ, κόνδυλον [a]αὐτῷ δίδου: Ἐπὶ τῶν ἀγαθὰ μὲν αἰτούντων, κακὰ δὲ ἀντιλαμβανόντων. Ἡ δὲ ἱστορία ἀπὸ τοῦ Κύκλωπος.

82 Ἀνέμου πεδίον: Ἐπὶ τῶν εὐμεταβόλων καὶ κούφων εἴρηται. F

83 Ἂν ἡ λεοντῆ μὴ ἐξικνῆται, τὴν ἀλωπεκῆν πρόσαψον: Ὅτι ἐὰν μὴ φανερῶς δύνῃ ἀμύνασθαι, [b]πανουργίᾳ χρῆσαι.

[r] ἔχων τὰς] ἔχοντας g.

[s] ἐπεσπᾶτο pro ἐπεσπάσατο. SCHOTT. ἑαυτοῦ ἐπεσπᾶτο g.

[t] Μουσῶν] μοισῶν c.

[u] ἐν π.] τῶν ἐν π. c.

[x] αἱ γνάθοι] ἡ γνάθος c.

[y] τὸ γηρᾶν] τὸ γῆρας B. 118. τῷ γήρᾳ c. τὸ γηρᾶν g.

[z] ἀπροσδοκήτως] ἀπροσδοκήτων c.

[a] ἀντιδίδου] Puto rescribendum, αὐτῷ δίδου. SCHOTT. Sic b. c. g.

[b] πανούργως] Alter cod. πανουργίᾳ habet. [sic b. c.] Et pro illo πρόσαψον adhibendum, melius forte πρόσραψον assuendum. SCHOTT.

84 ἈΝΤΙΠΕΛΑΡΓΕΙ͂Ν: Ἐπὶ τῶν τὰς χάριτας ἀνταποδιδόντων. Λέγονται γὰρ οἱ πελαργοὶ γεγηρακότας τοὺς γονεῖς τρέφειν. A

85 ἈΝΔΡῸΣ ΓΈΡΟΝΤΟΣ ἈΣΤΑΦῚΣ ΤῸ ΚΡΑΝΊΟΝ: Ἐπὶ τῶν εἰς μηδὲν χρησιμευόντων. Πᾶν γὰρ τὸ σῶμα τῶν γερόντων ἀσθενές.

86 ἈΝΔΡῸΣ ΓΈΡΟΝΤΟΣ ΜΉ ΠΟΤ' ἘΣ [c]ΠΥΓῊΝ ὉΡΑ͂Ν: Ἐπὶ τῶν B πρὸς ἔνια μὴ χρησίμων.

87 ἈΝΤΛΕΙ͂Ν ἈΜΦΟΤΈΡΑΙΣ: Λείπει, χερσίν. Ἡ παροιμία δήλη.

88 ἈΝΈΜΟΙΣ ΓΕΩΡΓΕΙ͂Ν: Πρὸς τοὺς πονοῦντας, καὶ μηδενὸς μεταλαγχάνοντας.

89 ἈΝΤῚ ΚΑΚΟΥ͂ ΚΥΝῸΣ ὟΝ ἈΠΑΙΤΕΙ͂Σ: [d]Ἐπὶ τῶν καλὰ ἀντὶ C κακῶν ἀνταποδιδόντων.

90 ἌΝΘΡΑΚΕΣ Ὁ ΘΗΣΑΥΡΌΣ: Ἐπὶ τῶν ἐφ' [e]οἷς ἤλπισαν διαψευσθέντων. Ὡς ὁ Λουκιανὸς,

Ἄνθρακάς μοι τὸν θησαυρὸν ἀπέφηνας.

91 ἌΞΙΟΣ ΤΟΥ͂ ΠΑΝΤΌΣ: Ἐπὶ τῶν σφόδρα τιμίων. D

92 ἌΞΙΟΣ ΕἾ ΤΗ͂Σ ἘΝ ἌΡΓΕΙ ἈΣΠΊΔΟΣ: Ἐπὶ τῶν εὐγενῶν καὶ αἰδημόνων. Οἱ γὰρ ἐν Ἄργει ἀνύβριστοι παῖδες καὶ καθαροὶ κατὰ νόμιμον παλαιὸν τὰς ἀσπίδας φέροντες πομπεύουσιν.

93 ἌΞΙΟΣ ΤΡΙΧΌΣ: Ἐπὶ τῶν εὐτελῶν.

94 ἈΠῸ ΒΡΑΔΥΣΚΕΛΩ͂Ν ὌΝΩΝ ἽΠΠΟΣ ὬΡΟΥΣΕΝ: Ἐπὶ τῶν ἀπὸ E εὐτελῶν μὲν, ἐνδόξων δὲ γενομένων ἐκείνων.

95 ἌΠΛΗΣΤΟΣ ΠΊΘΟΣ: Ἐπὶ τῶν γαστριμαργούντων, ἀπὸ τῶν περὶ τὰς Δαναΐδας πίθων.

96 ἈΦ' ἽΠΠΩΝ ἘΠ' ὌΝΟΥΣ: Ἐπὶ τῶν ἀπὸ σεμνῶν εἰς τὰ [f]ἄσεμνα ἡκόντων, οἷον ἀπὸ γραμματικῆς [g]ἐπὶ ἡνιοχευτικὴν, ἢ ἄλλο τι τῶν F οὐ σεμνῶν.

97 ἍΠΑΝΤΑ ΤΟΙ͂Σ ΣΟΦΟΙ͂Σ ΕὔΚΟΛΑ: Ἐπὶ τῶν διὰ φρονήσεως καὶ τῶν δυσκόλων περιγινομένων.

98 ἈΠῸ ΚΏΠΗΣ ἘΠῚ ΒΗ͂ΜΑ: Ἐπὶ τῶν ἀπὸ χειρόνων εἰς κρείττονα. G

[c] πυγὴν] πηγὴν b. g.

[d] Ἐπὶ καλὰ] In altero MS. κακὰ, [sic b. g. τῶν κακὰ] et pro ἀνταποδιδόντων malim ἀπαιτούντων. Ut in proverbio est antea. SCHOTT.

[e] οἷς] ἧς g.

[f] ἄσημα] ἄσεμνα b.

[g] ἡνιοχευτικὴν] ἐπὶ ἡνιοχευτικὴν b.

99 ἈΝΤ' ΕΥ̓ΕΡΓΕΣΙΆΣ ἈΓΑΜΈΜΝΟΝΑ ΔΗ͂ΣΑΝ ἈΧΑΙΟΊ: Ἐπὶ τῶν A
ἀχαρίστων.

100 [h]ἉΔΏΝΗΤΟΝ ἈΝΔΡΆΠΟΔΟΝ: Τὸ εὐτελὲς, τὸ πρὸς ἅλας ὠνηθέν. Ὅθεν καὶ Μένανδρος·

Θρᾶξ εὐγενὴς εἶ πρὸς ἅλας ὠνημένος.

II. 1 ΑἹ [i]ΧΆΡΗΤΟΣ ὙΠΟΣΧΈΣΕΙΣ: Ἐπὶ τῶν προχείρως ἐπαγγελλο- B
μένων. Χάρης γὰρ ἐγένετο στρατηγὸς Ἀθηνῶν, πολλὰ καὶ προχείρως ἐπαγγελλόμενος.

2 [k]ἌΡΙΣΤΑ ΧΩΛῸΣ ΟἹΦΕΙ͂: Φασὶν ὅτι αἱ Ἀμάζονες τοὺς γεννωμένους ἄρρενας ἐπήρουν. Ὅθεν πολεμοῦντες αὐταῖς οἱ Σκύθαι,
καὶ βουλόμενοι αὐτὰς [l]ἐξαπατῆσαι, ἔλεγον ὅτι συνέσονται αὐταῖς C
εἰς γάμον ἀπήρωτοι καὶ οὐ λελωβημένοι, ὡς τῶν ἐκείνων ἀνδρῶν λελωβημένων ὄντων. Ἐξ ὧν ἀποκριθεῖσα ἡ ἡγεμὼν τῶν Ἀμαζόνων, Ἄριστα, φησὶ, χωλὸς οἰφεῖ, ἀντὶ τοῦ συνουσιάζει.

3 ἈΚΕΣΊΑΣ ἸΆΣΑΤΟ: [m]Ἐπὶ τῶν ἐπὶ τὸ χεῖρον ἰωμένων. Καὶ
Ἀριστοφάνης· D

Ἀκεσίας τὸν πρωκτὸν ἰάσατο.

4 ἈΚΚΊΖΕΣΘΑΙ: Ἀκκὼ γυνή τις ἐπὶ μωρίᾳ διαβαλλομένη, ἥτις ἐσοπτριζομένη τῇ οἰκείᾳ σκιᾷ ὡς ἑτέρᾳ διελέγετο.

5 ἌΚΟΥΕ ΤΟΥ͂ ΤΈΤΤΑΡΑ ἜΧΟΝΤΟΣ ὮΤΑ: Ἐπὶ τῶν πολλὰ εἰδότων
καὶ πολλὰ ἀκουόντων· τὸν γὰρ Ἀπόλλωνα Λακεδαιμόνιοι [n]τετρά- E
ωτον ἵδρυσαν.

6 ἈΚΊΝΗΤΑ ΚΙΝΕΙ͂Σ: Ὅτι οὐ δεῖ κινεῖν, οὐ βωμοὺς, οὐ τάφους.

7 ἈΚΕΣΑΊΟΥ ΚΑῚ ἙΛΙΚΩ͂ΝΟΣ ἜΡΓΑ: Ἐπὶ τῶν θαύματος ἀξίων·
οὗτοι γὰρ τὸν [o]τῆς [p]πολιάδος Ἀθηνᾶς πέπλον ἐδημιούργησαν. F

[h] 'Αδόνητον] Zenobius, Suidas, et Apostolius, ἁλώνητον legunt, a sale deducta voce. Fortasse verius. SCHOTT. ἀνώνητον g.

[i] Χάρητος] Χάριτος g. qui infra Χάρις.

[k] Ἄριστα] Vid. Schol. Theocrit. IV. 62. Eustath. Il. p. 403.

[l] ἐξαπατῆσαι] Est in Pantinianis membranis ἐξαπατῆσθαι. SCHOTT.

[m] Ἐπὶ τὸ] ἐπὶ τῶν τῷ χείρονι κεχειρημένων καὶ ἰωμένων c.

[n] τετράωτον] De Apolline quater aurito a Spartanis culto ex Sosibio Zenobius Centuria I. Adagio 54. SCHOTT.

[o] τῆς] τὸν τῆς b. c.

[p] πολιάδος Ἀθηνᾶς templi, quasi *urbanæ* dixeris (Pallas enim *–quas condidit arces Ipsa colit*) meminit Strabo lib IX. et Pausanias in

8 Ἀκόνην σιτίζεις: Ἐπὶ τῶν τροφῇ πολλῇ χρωμένων, μηδὲν A δὲ εἰς τὸ σῶμα ἐπιδιδόντων. Ὅμοιον, Διὰ [q]δακτυλίου δεῖ σε ἑλκυσθῆναι.

9 Ἀκέφαλος μῦθος: Ἐπὶ τῶν [r]ἀτελῆ λεγόντων. [s]Πλάτων·

'Ακέφαλον [t]ἑκὼν καταλίποιμι μῦθον.

10 Ἄκροι ἅψασθαι δακτύλοι: Ἐπὶ τῶν οὐκ ἀκριβῶς ἠσκημένων. B

11 Ἅλας καὶ τράπεζαν μὴ παραβαίνειν: Δήλη ἡ παροιμία. Φίλοι γὰρ ἐκ τούτων γινόμεθα.

12 Ἅλμη οὐκ ἔνεστιν αὐτῷ: Ἐπὶ τοῦ ἀηδοῦς καὶ ἀναρτύτου.

13 Ἄλλοι κάμον, ἄλλοι ὄναντο: Ἐπὶ τῶν παρ' ἐλπίδα τὰ C ἀλλότρια κληρονομούντων.

14 Ἀλλ' οὐδὲν δεῖ περὶ τὸν βωμὸν [u]τὰς ἐπινοίας: Ὅτι οὐ δεῖ ἐν αὐτοῖς τοῖς πράγμασι βουλεύεσθαι. Οἱ γὰρ τὰ ἱερεῖα προσάγοντες οὔκουν μετὰ τὸ καλλιερῆσαι βουλεύονται.

15 Ἀλλ' οὐκ αὖθις ἀλώπηξ: Λείπει τὸ, ἁλώσεται. Ἐπὶ τῶν D πονηρῶν δέ.

16 Ἄλλο γλαῦξ, ἄλλο κορώνη φθέγγεται: Ἐπὶ τῶν ἀλλήλοις οὐ συμφωνούντων, ἀλλ' ἐριζόντων τοῖς κρείττοσιν.

17 Ἀλωπεκίζειν πρὸς ἑτέραν ἀλώπεκα: Ἐπὶ τῶν ἐξαπατᾶν βουλομένων τοὺς ὁμοίους. E

18 Ἀλώπηξ οὐ δωροδοκεῖται: Ἐπὶ τῶν οὐ ῥᾳδίως δώροις ἁλισκομένων.

19 Ἄλλως ἀΐδεις: Ἐπὶ τῶν μάτην πονούντων.

20 Ἄλλοισι γλῶσσα, ἄλλοισι δὲ [x]γόμφιοι: Οἱ μὲν γὰρ λαλοὶ, οἱ δὲ φάγοι. F

21 Ἄλλα μὲν Λεύκωνος ὄνος φέρει, ἄλλα δὲ Λεύκων: Ἐπὶ τῶν ἀσυμφώνους τοὺς λόγους τοῖς ἔργοις παρεχομένων. Λεύκων γάρ τις γεωργὸς, μέλιτος ἀσκοὺς εἰς φορμὸν ἐμβαλὼν,

Atticis: etsi diversa narrent de Poliade et Lychno. Vide et Hesych. in Οἰκουρὸν ὄφιν. SCHOTT. Παλάδος g.

q δακτύλου] δακτυλίου b. c.

r ἀτελῆ] ἀσελγῆ b. g.

s Πλάτων] Platonis verba VI. Legum [p. 752 A.] sunt, qui et in Gorgia, [p. 505 C.] Μὴ ἄνευ κεφαλῆς περιΐῃ. SCHOTT.

t ἑκὼν om. b. g. Tum καταλελείποιμι g.

u τὰς] τῆς c.

x γόμφιοι] γόμφοι c. g.

ἐκόμιζεν εἰς Ἀθήνας, κριθὰς τοῖς φορμοῖς ἐμβαλὼν, [y]ὡς ὀλίγον A εἰσπραχθησόμενος τέλος. Τοῦ δὲ ὄνου πεσόντος, οἱ τελῶναι βοηθῆσαι βουλόμενοι, ἔγνωσαν ὅτι μέλι ἐστὶν, καὶ τοῦτο ἔφησαν.

22 Ἄλλην μὲν ἐξηντλοῦμεν, ἡ δ' ἐπεισρέει: Ἐπὶ τῶν πονούντων καὶ πλέον οὐδὲν ἀνυόντων.

23 Ἀμεινόνων οἰωνῶν τυχεῖν: Ἐπὶ τῶν ἐκ κακῶν εἰς ἀγαθὰ B μεταβαινόντων.

24 Ἅμ' ἔπος, ἅμ' ἔργον: Ἐπὶ τῶν ὀξέως καὶ ταχέως ἀνυομένων.

25 Ἀμελοῦς γωνία: Ἐπὶ τῶν ῥαθύμως καὶ ἀργῶς καθημένων. Ἔστι γὰρ [z]χωρίον Λιβύης ἐν ἀποκρύφῳ Ἀμελοῦς γωνία καλού- C μενον.

26 Ἀμουσότερος Λειβηθρίων: Ἐπὶ τῶν ἀπαιδεύτων. Λειβήθριον γὰρ ὄρος Πιερικὸν, οὔτε μέλους ἁπλῶς, οὔτε ποιήματος ἔννοιαν λαμβάνον.

27 Ἄμμον μετρεῖν: Ἐπὶ τῶν ἀδυνάτων. D

28 Ἀνέμους θηρᾷν ἐν δικτύοις: Ἐπὶ τῶν ὁμοίων.

29 Ἅμ' ἠλέηται, καὶ τέθνηκεν ἡ χάρις: Ἐπὶ τῶν ταχέως ἐπιλανθανομένων τῆς χάριτος.

30 Ἄμμες ποτ' ἦμεν: Λακωνικὴ [a]παραβολὴ, ἀντὶ τοῦ, Ἡμεῖς ποτ' ἦμεν. Τριῶν γὰρ χορῶν ὄντων, ὁ μὲν τῶν παλαιῶν τοῦτ' E ἔλεγεν· ὁ δὲ τῶν νεωτέρων καὶ ἀκμαζόντων,

[b]Ἄμμες δέ γ' ἦμεν·

ὁ δὲ τῶν νηπίων καὶ οὔπω ἀκμαζόντων,

Ἄμμες δέ γ' ἐσόμεθα πολλῶν κάρρονες.

31 Ἁλιεὺς πληγεὶς νοῦν οἴσει: Ἐπὶ τῶν μετὰ τὸ [c]ἁμαρτῆ- F σαί τινος πράγματος [d]συνιέντων. Ἁλιεὺς γὰρ ἁλισκομένους ἰχθῦς μετεχειρίζετο, καὶ ποτὲ πληγεὶς, Νοῦν οἴσω, φησίν· ὅμοιον δέ ἐστι τῷ παρ' Ἡσιόδῳ,

Ῥεχθὲν δέ τε νήπιος ἔγνω.

[y] Ὡς ὀλίγον] Alter cod. εἰς ὀλίγον. Et mox, βοηθεῖσθαι. SCHOTT.

[z] χωρίον] χωρίου g. qui mox καλούμενος.

[a] παραβολὴ] ἡ παραβολὴ g.

[b] Ἄμμες] ἄμες g. et infra.

[c] ἁμαρτῆσαι] In altero libro ἁμαρτῆσθαι. Et statim παρ' Ὁμήρῳ. Sed hoc verius est. SCHOTT.

[d] συνιέντων] συνιόντων g.

32 ἈΠΟΛΈΣΑΣ ΤῸΝ ΟἾΝΟΝ, ἘΠΙΧΈΑΣ ΤῸ ὝΔΩΡ: Ἐπὶ τῶν τοῖς A
καλοῖς τὰ χείρονα [e]προσμιγνύντων· ἐν Κύκλωπος γὰρ [f]δράματι οὕτω φησὶ πρὸς Ὀδυσσέα Πολύφημος.

33 ΑἼΞ ΣΚΥΡΊΑ: Ἐπὶ τῶν τὰς εὐεργεσίας ἀνατρεπόντων. Ἀνατρέπει γὰρ τὸ ἀγγεῖον ἀμελχθεῖσα.

34 ἉΛῶΝ ΔῈ ΦΌΡΤΟΣ ἜΝΘΕΝ ἮΛΘΕΝ, ἜΝΘ' ἜΒΗ: Ἔμπορός τις B
ἅλας ἄγων, καὶ καθευδήσας, ἀπώλεσεν αὐτὸ τῆς ἀντλίας [g]ἐπαναστάσης. Λέγεται [h]οὖν ἐπὶ τῶν τὰ, ἅπερ προσεπόρισαν καὶ ἐχαρίσαντο, [i]ἀπολλύντων.

35 ἈΝΕΠΑΡΊΑΣΑΝ: Ἐπὶ τῶν μεταγινωσκόντων ἐπί τινι. Οἱ γὰρ Πάριοι ὁμολογήσαντες παραδώσειν Ἀθηναίοις τὴν πόλιν, ὕστερον C
μετέγνωσαν.

36 Ἁ ΦΙΛΟΧΡΗΜΑΤΊΑ ΣΠΆΡΤΑΝ ἝΛΟΙ, ἌΛΛΟ ΔῈ ΟὐΔΈΝ: Ἐπὶ τῶν ἐξ ἅπαντος κερδαίνειν [k]πειρωμένων. Ἔφησε γὰρ ὁ θεὸς Σπαρτιάταις, τότε ἀπολεσθῆναι, ὅταν ἀργύριον καὶ χρυσίον τιμήσωσιν. D

37 ἈΘΗΝᾶΙ ΤῸΝ ΑἼΛΟΥΡΟΝ: Ἐπὶ τῶν συγκρινόντων τὰ ἥττονα τοῖς κρείττοσιν. Ὡς εἴ τις διὰ γλαυκότητα τῇ Ἀθηνᾷ τὸν [l]αἴλουρον συμβάλλοι.

38 [m]ἈΤΤΙΚΟῚ ΤᾺ ἘΛΕΥΣΊΝΙΑ: Ἐπὶ τῶν καθ' ἑαυτοὺς συλλεγομένων καὶ πραττόντων τὶ ἀπόρρητον. Κρύφα γὰρ κἀκεῖνα ἐτέ- E
λουν.

39 ΑὐΤῶΙ ΚΑΝῶΙ: Ἐπὶ τῶν [n]ἄρτι τι λυμαινομένων. Τὰ γὰρ δεῖπνα ἐπὶ κανῷ κομιζόμενα ἥρπαζόν τινες αὐτῷ [o]κανῷ. Ὅμοιον,

40 ἙΣΤΊΑΙ [p]ΘΎΕΙΝ: Ἐπὶ τῶν κρύφα πραττόντων. Οἱ γὰρ Ἑστίᾳ θύοντες, οὐδὲν ἐξέφερον τῆς θυσίας. F

[e] προσμιγνύντων] προσμιγνυόντων g.
[f] δράματι] δράματι λεγομένῳ b.
[g] ἐπαναστάσης] ἐπαναβάσης Apostol. II. 40. Vid. Hemsterhus. ad Lucian. Tim. c. 4. T. I. p. 108.
[h] οὖν] δὲ g.
[i] ἀπολλύντων] ἀπωλόντων g.
[k] πειρομένων. Forte rectius προαιρουμένων. Et 37. συμβάλοι, alibi legebatur. SCHOTT.
[l] αἴλουρον] αἴρουλον g. et infra.
[m] Sup. Cent. I. Adag. 51. de iisdem sacris. SCHOTT.
[n] Ἄρδην λυμαινομένων rectius in Zenobio legas, quem vide. Sequens adagium loco non suo positum, nisi legas ὅμοιον τὸ, addasque explanationem, quam in Ἑστίᾳ θύει adhibet infra Cent. IV. [68.] SCHOTT. ἄρχοντι g. τελείως c.
[o] κανῷ] Hunc art. addito ὅμοιον cum seq. conjungit g.
[p] θύειν] θύει g.

41 Ἀφύας πῦρ: Ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων. Τάχιστα A γὰρ ἡ ἀφύα ἕψεται.

42 Ἀτρέως ὄμματα: Ἐπὶ τῶν τὰ πάντα ὁρώντων, [q] καὶ οὐκ ἔστι λαθεῖν· [r] οἱονεὶ ἄτρεπτα καὶ σκληρά. Εἴρηται δὲ [s] ἐπεὶ οὐκ ἔλαθε Θυέστης μοιχεύων τὴν γυναῖκα αὐτοῦ, ἀλλὰ δειπνοῦντι τὰ [t] τέκνα αὐτῷ εἰς βρῶσιν παρέθηκεν. B

43 Ἄιδου πρωκτῷ περιπέσοις: Δῆλον.

44 Ἀετὸν κάνθαρος μαιεύεται: Ὑπὸ τῶν κακῶς ὑπό τινων πασχόντων. Τὰ γὰρ ὠὰ τοῦ ἀετοῦ ἀφανίζει κυλίων ὁ κάνθαρος.

45 Ἀγόμενος διὰ φρατόρων κύων: Ἐπὶ τῶν ὅπου μὴ δεῖ εὑρισκομένων καὶ τιμωρουμένων. Ἐν γὰρ τοῖς φράτορσι κύων C εὑρεθεὶς, τιμωρεῖται.

46 Ἁγνὴ γάμων: Ἐπὶ τῶν σωφρόνων γυναικῶν. Εἰρωνικῶς δὲ καὶ ἐπὶ τῶν μὴ σωφρόνων. [u] Ὅμοιον, [x] Τὸ κανοῦν τοῦ θεοῦ φέρει. Αἱ γὰρ ἁγναὶ ἔφερον.

47 Ἀγρὸς ἡ πόλις: Ἐπὶ τῶν παρανομούντων. Ἐπίχαρμος· D

Ἀγρὸν τὴν πόλιν ποιεῖς.

48 Ἀηδόνες [y] λέσχαις ἐγκαθήμεναι: Ἐπὶ τῶν ἀδολεσχούντων.

[q] καὶ οὐκ] f. καὶ οὖς οὐκ.

[r] οἱονεὶ] οἱονεὶ γὰρ g. qui mox οὐ σκληρά.

[s] ἐπεὶ οὐκ ἔλαθε] In Pantini MS. ἤθη δὴ οὐκ ἔλαθε. SCHOTT. ἐπειδὴ b.

[t] τέκνα—βρῶσιν] τέκνα αὐτοῦ, εἰς βρῶσιν αὐτῷ g.

[u] ὅμοιον addidi cum b. ὁμοία g. Mox ἁγναὶ ex b. c. pro εὐναί.

[x] Τὸ κανοῦν] Depravatus locus videatur ac mutilus, legendumque ὅμοιον τὸ, Κανοῦν τοῦ θεοῦ φέρει. Et mox: Αἱ γὰρ κανηφόροι. De quibus virginibus Theocriti interpres Idyll. β. nupturas nimirum virgines, etiam Dianæ placandæ gratia, ne eam offenderent atque in se irritarent, quod virginitatem suam essent amissuræ, κανηφορεῖν, id est, sacra quædam in canistris condita et occultissima ferre solitas. Nam Cereris Canephori incedebant pomparum ritu, de quibus Cicero in Verrem De signis, et 1. Offic. Ad hæc Minervæ, ut Pausanias in Atticis. Junonis quoque passus gravis ac lentus: Horatius Sat. 3. lib. I. *sæpe velut si Junonis sacra ferret.* Et Sat. 8. lib. II. *ut Attica virgo Cum sacris Cereris.* Ad quem incessum respexisse credo Maronem, cum ait [Æn. I. 46.] *Ast ego quæ divum incedo regina.* SCHOTT. τῆς θεᾶς c.

[y] λέσχαις] Λέσχαι alibi lego. Erasmus reddit *nugis insidentes*, Hen. Stephani ingratiis, hîc, et in Thes. L. Græcæ. Mallet tamen ille λόχμαις legi. Equidem nihil demuto. Dictum enim videtur dum verbosius in exedris ac circulis docti homines confabulantur. SCHOTT. λέσχαι b. g.

49 Ἀγορὰ λύκιος: Ἐπὶ τῶν ταχέως πιπρασκομένων. Ἐκ με- A
ταφορᾶς τοῦ ζώου· ἁρπακτικὸν γάρ.

50 Ἀεὶ Λεοντῖνοι περὶ τοὺς κρατῆρας: Ἐπὶ τῶν ἀεὶ τοῖς αὐτοῖς ἐγκειμένων. Οἱ γὰρ ἐν Σικελίᾳ Λεοντῖνοι περὶ [z]τοὺς πότους ἐσχόλαζον. [a]Φάλαρις δ' αὐτοὺς καταπολεμήσας, εἰς τοὺς
κρατῆρας ἔρριψεν· ἀφ' οὗ ἡ παροιμία. B

51 Αἱ Οἰδίποδος ἀραί: Ἐπὶ τῶν μεγάλως δυστυχούντων.

52 Αἱ λαχάνων προσθῆκαι: Ἐπὶ τῶν μηδὲν ὠφελούντων. [b]ὅμοιον τό· Δαιδάλου πτερά.

53 [c]Αἰσχύνομαι τὴν φιλότητα γηράσκων ἵππος ὑπὸ ζυγὸν, θήλειάν τε τροφὴν ἔχων ὁρᾶσθαι: Ἐπὶ τῶν παρ' ἀξίαν τι C
ὑπομενόντων ἕνεκα τροφῆς.

54 [d]Ἀεὶ τὰ πέρυσι βελτίω: Ἐπὶ τῶν κατόπιν ἐν ταῖς χερσὶ γινομένων. Ταπεινούμενοι γὰρ Ἀθηναῖοι κατὰ τὰ Μακεδονικὰ ἐπεφώνουν [e]τι τοιοῦτον.

55 Αἰγύπτου γάμος: Ἐπὶ τῶν ἀλυσιτελῶς γαμούντων. D

56 [f]Ἄλευ' ἀπὸ μείζονος ἀνδρός: Παραινετικὴ ἡ παροιμία.

57 Ἄλλο γένος κώπης: Ἐπὶ τῶν περὶ τὸ [g]ἦθος ἐνηλλαγμένων. Ἡρακλῆς γὰρ διαπεραιούμενος ἐπὶ τὰς Ἐρυθείας βοῦς, ἱστίῳ τῇ
λεοντῇ ἐχρήσατο, ἱστῷ δὲ τῷ ῥοπάλῳ· ἐφ' ᾧ καὶ ἐλέχθη. E

58 [h]Ἄλλη τορέλλη: Σκῶμμα γερόντων. Ἐκ τοῦ τορὸς γίνεται.

z τοὺς πότους] τοὺς om. b. sed habent c. g.

a Φάλαρις] De Phalaridis facto Ovidius: *Et pronos currus medio cratere recepit.* SCHOTT.

b ὅμοιον τὸ] Lacunam sic explevi: ὅμοιον τό· Δαιδάλου πτερά. SCHOTT. τὰ b. ὅμοια τὰ g.

c Tragici esse alicujus apparet. SCHOTT.

d Puto pugna ad Chæroneam id accidisse. Plutarch. legendus. SCHOTT.

e τι] τὸ b.

f Ἄνευ habet Palat. et Pantini liber, male, pro Ἄλευ', ab ἀλεύομαι. De hoc Eras. in adagio: *Porro a Jove et fulmine.* Et Suidas. SCHOTT. ἄνευ' g.

g Ἔθος Pantini codex pro ἦθος. Lebes, quo pro navigio usus Hercules, describitur a Macrobio lib. V. Satur. cap. 15. et a Pisandro apud Athenæum lib.XI.[p.469D.] SCHOTT.

h Ἄλλη τορέλλη] Proverbii nemo meminit, ac ne lexica quidem extra Hesychium: Τορέλλη: ἐπιφώνημα θρηνητικὸν, σὺν αὐλῷ Θρᾳκικόν: et in Apostolio integro lego, τορὸς, σορός. SCHOTT. Vid. B. 182. Ἀλλ' εἶ τορέλλη Dindorf. ad Aristoph. Dæt. fr. 1.

59 [i]Ἄκουε τὰ ἀπὸ καρδίας: Ἐπὶ τῶν [k]ἀπαρακαλύπτως ἃ A φρονοῦσι διεξιόντων.

60 Ἀλλότρια βάλλειν: Ἐπὶ τῶν ἀποτυγχανόντων ἢ ἐν τῷ κυβεύειν, ἢ ἐν ἄλλῳ τινί.

61 Ἄλλως ἀναλίσκεις ὕδωρ: Ἐπὶ τῶν ματαιολογούντων. Ἀπὸ τῶν ἐν τοῖς δικαστηρίοις πρὸς ὕδωρ λεγόντων. B

62 Ἄλλοι μὲν σπείρουσιν, ἄλλοι δὲ [l]ἀμήσουσι: Φανερόν.

63 Ἀκαρπότερος ἀγριππου: Ἐπὶ τῶν ἀνωφελῶν. Φυτὸν γάρ ἐστιν [m]ὁ ἄγριππος ἄκαρπον.

64 [n]Ἄρτι μῦς πίσσης γεύεται: Ἐπὶ τῶν νεωστὶ πεῖραν τῶν κακῶν λαμβανόντων. Τὸ γὰρ ζῶον εἰς πίσσαν πίπτον δεινὰ C πάσχει.

65 Ἀσκῷ μορμολύττεσθαι: Ἐπὶ τῶν μάτην φοβούντων.

66 [o]Ἄστροις σημαίνεσθαι: Ἐπὶ τῶν ἐκ μακροῦ τι ὑπονοούντων. [p]Ἀπὸ τῶν πλοϊζομένων ἡ παραβολή.

67 Ἄτλας τὸν οὐρανόν: Ἐπὶ τῶν μεγάλοις τισὶ πράγμασιν D ἐπιβαλλομένων, καὶ κακῷ τινι περιπιπτόντων.

68 Ἁρμοδίου μέλος: Ἐπὶ [q]τῶν σκολιῶν. Σκολιὰ γὰρ μέλη ᾖδε. Ταυτὸ δὲ καὶ τὸ, "Ἀδμήτου μέλος."

69 Ἀρκαδίην μ' αἰτεῖς: Ἐπὶ τῶν μεγάλα ἢ ἀσύμφορα αἰτούντων. E

70 Ἄρκτου παρούσης τὰ ἴχνη ζητεῖς: Ἐπὶ τῶν δειλῶν κυνηγῶν.

71 Ἀρχαιότερος Ἰβύκου: Ἐπὶ τῶν εὐηθῶν. Οὗτος γὰρ τυραννεῖν δυνάμενος, ἀπεδήμησεν.

72 [r]Ἀεὶ γέροντι νέαν ἐπιβάλλειν κούρην: Τοῖς πρεσβυτέ- F ροις νέαν συνευνάζειν.

[i] Ἄκουε] Citat Lucianus in Jove Tragœdo, [c. 19.] et Plut. in discr. adulat. et amici. [p. 63 A.] SCHOTT.

[k] ἀπαρακαλύπτως] ἀπαρακάπτως g.

[l] ἀμήσουσι] ἀμήσονται g.

[m] ὁ] ἡ b.

[n] Pulcre Theocritus Idyll. 14. Νῦν δὲ πόθ' ὡς μῦς, φαντὶ Θυώνυχε, γεύμεθα πίσσας. Adag. seq. 65. μορμύττεσθαι est in Pantini cod. SCHOTT. Hoc item b. vid. infra n. 100.

[o] Suidas τεκμαίρεσθαι, a quo mutuatus Eustathius in libro V. Odyss. Quid si de asteriscis intelligas, quibus insigniebantur loca auctorum, cui contrarium ὀβελίζειν? SCHOTT.

[p] ἀπὸ] ἐπὶ g.

[q] τῶν om. g.

[r] Ἀεὶ γέροντι] In his latent ora-

73 ἈΛΏΠΗΞ ΤῸΝ ΒΟΥ͂Ν ἘΛΑΎΝΕΙ: Ἐπὶ τῶν δολερῶν καὶ μικρῶν, A
ὅμως δὲ [s] μεγάλους καταγωνιζομένων [ἄφρονας.]

74 [t] ἊΚΙΣ ΠΟΤΑΜΌΣ: Ἐπὶ τῶν ἄγαν ψυχρῶν. Ψυχρὸς γάρ ἐστιν οὗτος.

75 ἈΛΛΌΤΡΙΟΝ ἈΜΑ͂ΙΣ ΘΈΡΟΣ: Ἐπὶ τῶν κατολιγωρούντων ἐν τοῖς
ἀλλοτρίοις, ἢ τὰ ἀλλότρια [u] καρπουμένων. B

76 ἌΛΛΟΤΕ ΜΗΤΡΥΙῊ ΠΈΛΕΙ ἩΜΈΡΑ, ἌΛΛΟΤΕ ΜΉΤΗΡ: Ἐπὶ τῶν ποτὲ μὲν εὐημερούντων, ποτὲ δὲ δυσημερούντων.

77 [x] ἍΜΑ ΔΊΔΟΥ ΚΑῚ ΛΆΜΒΑΝΕ: Ὅταν πρὸς ἄπιστον συναλλάσσωμεν.

78 ἈΞΊΑ Ἡ ΚΎΩΝ ΤΟΥ͂ ΘΡΌΝΟΥ: Ἐπὶ τῶν παρ' ἀξίαν τινὸς τυγ- C
χανόντων.

79 ἈΡΓΕΊΑ [y] ΦΟΡΆ: Ἐπὶ τῶν συκοφαντῶν. Οἱ γὰρ Ἀργεῖοι φιλόδικοι.

80 ἈΤΤΙΚῊ ΠΊΣΤΙΣ: Ἐπὶ τῶν πιθανῶν καὶ πιστῶν καὶ εὐόρκων.
Ἱδρύσαντο γὰρ οἱ Ἀττικοὶ ἱερὸν Πίστεως. D

81 [z] ἈΡΓΥΡΑΙ͂Σ ΛΌΓΧΑΙΣ ΜΆΧΟΥ, ΚΑῚ ΠΆΝΤΩΝ ΚΡΑΤΉΣΕΙΣ: Ἀντὶ τοῦ, διὰ χρυσοῦ πάντας νικήσεις. Φιλίππῳ δὲ ἐδόθη οὗτος ὁ χρησμὸς, αἰνιττομένου τοῦ θεοῦ, ὡς διὰ προδοσίας πάντων κρατήσει.

82 ἌΚΩΝ ΜῈΝ, ὩΣ ΖΕῪΣ ΟἾΔΕΝ: Ἐπὶ τῶν ἀκόντων ὑπισχνου-
μένων [a] τι. E

83 [b] ἈΠῸ ΓΡΑΜΜΗ͂Σ ΑΥ̓ΤΗ͂Σ: Ἐκ μεταφορᾶς τῶν τρεχόντων.

culi verba, Ἱστοβοῆϊ γέροντι νέαν ποτίβαλλε κορώνην. Vid. Valckenær. Diatr. Euripid. p. 275.

[s] μεγάλους] In Pant. μεγάλα legitur. SCHOTT. et b.

[t] Siciliæ fluvius ex Ætna teli impetu decurrens, unde illi nomen, ut docet Eustathius Iliad. π. ἄκις enim Græcis telum est. Meminit Theocritus, et interpres, Ovidius, Plinius, et Servius. SCHOTT.

[u] Καρπούντων lego in Pantini libro, pro καρπουμένων. SCHOTT. καρπούντων. ἄλλοι κάμον ἄλλοι ὤναντο. ὅμοιον. b.

[x] Post hunc art. addit b. Ἀμφοῖν χεροῖν] ἐπὶ τῶν ἀφειδεὶ προσκειμένων.

[y] φορά] *Tributum, collatio, proventus.* Sed de mendo suspecta hîc vox. Suidas enim sic habet: Ἀργεῖοι φῶρες. *Argivi fures.* Quod melius in sycophantas quadret. SCHOTT.

[z] Versus erit si ita legis: Ἀργυρέαις λόγχαισι μάχου, καὶ πάντα κρατήσεις. SCHOTT. Mox dedi οὗτος ὁ pro τοῦτο.

[a] τι] δὲ g.

[b] Post hunc art. addit b. Ἀπὸ χοέως σπάσω: παρ' ὅσον οἱ μεθύοντες ἀληθεύουσιν.

84 Ἀπὸ μηχανῆς θεὸς ἐπιφανείς: Ἐπὶ τῶν ἀπροσδοκήτως ἐπ' ὠφελείᾳ τινὶ [c] ἀναφαινομένων. Ἐν γὰρ [d] τραγῳδίαις θεοὶ ἐξ ἀφανοῦς ἐπὶ τῆς σκηνῆς ἐφαίνοντο. A

85 [e] Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ: Ἐπὶ τῶν τῇ ἀληθείᾳ χρωμένων.

86 [f] Ἀπόλογος Ἀλκινόου: Ἐπὶ τῶν φλυάρων καὶ μακροὺς ἀποτεινόντων λόγους. B

87 Ἅπας ἐχῖνος τραχύς: Ἐπὶ τῶν δυσκόλων, καὶ δυστρόπων· ἐξαιρέτως χρειῶδες ἐπὶ τῶν [g] κακωτικῶν ἢ εὐνούχων.

88 [h] Ἅπερ οἱ γῦπες: Ἐπὶ τῶν διὰ κληρονομίαν ἢ ὅλως κέρδος οἱονοῦν παρεδρευόντων τισίν. Οἱ γὰρ γῦπες τοῖς θνησιμαίοις παρεδρεύουσιν. C

89 Ἀπορραγήσεται τεινόμενον τὸ καλώδιον: Ἐπὶ τῶν βίᾳ τι καὶ ἀνάγκῃ ποιούντων. [i] Λουκιανὸς,

Καὶ ὅρα μὴ, κατὰ τὴν παροιμίαν, [j] ἀπορρήξωμεν πάνυ τείνουσαι τὸ καλώδιον.

90 [k] Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν: Φανερόν. D

91 Ἀρεοπαγίτης: Ἐπὶ τῶν σκυθρωπῶν καὶ σιωπηλῶν καὶ ὑπερσέμνων.

92 Ἀρᾶς ἱερόν: Ἐπὶ τῶν πολλὰ ἀρωμένων ἢ ἐπὶ χρηστοῖς ἢ φαύλοις. E

93 Ἀργύρου κρῆναι λαλοῦσιν: Ἐπὶ τῶν ἀπαιδεύτων μὲν, δι' ὑπερβολὴν δὲ πλούτου παρρησιαζομένων.

c ἀναφαινομένων] Pro ἀναφερομένων ex Apostolio V. C. Pantini reposui ἀναφαινομένων. SCHOTT.

d τραγῳδίαις] ταῖς τρ. b.

e Euripidis est in Phœnissis [472.] citatque Seneca epist. 49. SCHOTT.

f Meminit Plato libro de Rep. X. [p. 614 B.] et Julius Pollux, et Aristot. lib. III. Rhet. [c. 16.] ibidemque Interpretes. Sumtum autem ex Homeri Odyssea. Μακρῶν λόγων lego in Pantiniano. Palat. vero: *De futilibus et sermones prolixius extendentibus.* SCHOTT.

g κακῶν τινῶν] κακωτικῶν g. cum Apostol. IV. 13. κατωτικῶν b.

h Ἅπερ οἱ] Suidas ἄπειροι γῦπες, vertitque Germanus addito asterisco, velut hæsitans, *infiniti vultures.* Rectius Erasm. ἅπερ γῦπες. SCHOTT.

i Λουκιανὸς καὶ] καὶ Λουκιανὸς g. Scil. Dial. Meretr. III. ult. T. III. p. 286.

j ἀπορρήξωμεν πάνυ τείνουσαι] διαρρήξωμεν διαδίνουσαι b. διαρρήξωμεν g.

k Inter Theognidis gnomas refertur. SCHOTT. v. 625.

94 Ἀρχὴ ἄνδρα δείκνυσιν: Ἐπὶ τῶν ἐν τῇ ἀρχῇ οἷοί εἰσι A
φαινομένων.

95 [l] Ἀρχιλόχου πατρίς: Ἐπὶ τῶν λοιδορούντων. Τοιοῦτος γὰρ
ὁ Ἀρχίλοχος.

96 Ἄρνα προβάλλει: Ἐπὶ τῶν πολεμεῖν αἱρουμένων. Οἱ γὰρ
πόλεμον αἱρεῖν βουλόμενοι, κήρυκα ἔπεμπον ἄρνα ἐπιφερόμενον, ὃν B
ἠφίει ἔνδον, ἐνδεικνύμενος, μηλόβοτον αὐτῶν τὴν οὐσίαν ἔσεσθαι
καὶ τὴν πόλιν.

97 Ἀρχὴ ἥμισυ παντός: Ἐπὶ τῶν εἴς τι προκοπτόντων. Παρ-
ῆκται δὲ [m] ἐκ τῶν Ἡσιόδου.

98 Ἀρχύτου πλαταγή: Ἐπὶ τῶν ἡσυχάζειν οὐ δυναμένων· ὁ C
γὰρ Ἀρχύτας τέκτων ὤν, ἐπενόησε πλαταγὴν, ἣν ἐδίδοσαν τοῖς
παιδίοις ἵνα μηδὲν τῶν κατὰ οἰκίαν σκευῶν διασαλεύσωσιν.

99 Ἄρχων ἄκουε καὶ δικαίως καὶ ἀδίκως: Ἐκ τῶν τοῦ Σό-
λωνος ἐλεγείων παραινετική.

100 [n] Ἀσκῷ φλατρίζεις: Ὡς, Τῷ ἀσκῷ μορμύττεις. Μορ- D
μολυκείοις ἐκφοβεῖς τὸν λέοντα.

III. 1 Ἀσβεστέρος [o] Ἱππομένους: Διὰ τὸ ἐπὶ θυγατρὶ [p] μύσος.
Καὶ γὰρ αὐτὴν μοιχευθεῖσαν ἵππῳ [q] συγκατέκλεισε. Διὰ τοῦτο
καὶ τὴν Κοδριδῶν ἀρχήν φασι καταλυθῆναι, ἐξ ὧν ἦν ἐκεῖνος.

2 Ἀρχαιότερα τῆς διφθέρας λέγεις: Ἐπὶ τῶν σαθρά τινα E
καὶ μωρὰ διηγουμένων. Ἡ γὰρ διφθέρα, ἐν ᾗ δοκεῖ ὁ Ζεὺς ἀπο-
γράφεσθαι τὰ γινόμενα, παμπάλαιος.

3 [r] Ἀσκὸν δαίρεις: Ἐπὶ τῶν ἀνοήτως τι ποιούντων.

4 Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον· [s] φῦντα δ'

[l] Ἀρχιλόχου πατρίς] Suid. Ἀρχίλοχον πατεῖς. Et sic c. altera lect. suprasc.

[m] ἐκ τῆς] ἐκ τῶν Hemsterhus. Lucian. Somn. c. 3. T. I. p. 6.

[n] Ἀσκῷ] Supra Adagio 65. et in Suida Centuria III. eadem occurrunt. Addit autem Pantini codex haec vitiosa: οἶκον ἐν τῷ σώματι. Διαμάχη δὲ τῷ Ἀσκῷ μορμύττεις. Vide mox: *Utrem vellis.* SCHOTT. Vid. Eustath. Od. ζ'. p. 1552, 23.

[o] Ἱππομένους] Suidas in Hippomenes diserte commemorat, et in Ibin Naso: *Utque novum passa est genus Hippomeneia pœnæ, Tractus et Actæa fertur adulter humo.* SCHOTT.

[p] μῦσος] μίσος b.

[q] συγκατέκλεισεν] συγκατέκλεισεν εἰς θύρην b.

[r] Ἀσκὸν] Vid. Eustath. Il. p. 787, 10. Heindorf. ad Platon. Euthyd. p. 346.

[s] Φῦντα δ' ὁμῶς] Quid si ὅπως legas? SCHOTT. Sic Theognis 427.

ὍΜΩΣ ὬΚΙΣΤΑ ΠΥ͂ΛΑΣ ἈΐΔΑΟ ΠΕΡΗ͂ΣΑΙ: Ἐπὶ τῶν δυστυχῶς βιούντων. A

5 Ἀρχὴ πολέμων: Ἐπὶ τῶν ἀδικεῖν ἐπιχειρούντων.

6 Ἀργοΰντων χορός: Ἐπὶ τῶν ἄτοπά τινα διαπραττομένων.

7 Ἀστραπὴ ἐκ πυελίου: Ἐπὶ τῶν ἀδυνάτων καὶ εὐτελῶν. Ἡ γὰρ ἐξ ὑδάτων ἢ ἀγγείων ἀστραπὴ ἐν τοῖς τοίχοις γινομένη, οὐδὲν δύναται. B

8 [t]Ἀτενὲς ὁρᾷς: Ἐπὶ τῶν φιληδούντων τισίν.

9 Ἀτρέμας βοῦς: Ἐπὶ τῶν βραδέως συντελούντων.

10 [u]Ἄργου λόφος: Ἐπὶ τῶν σφόδρα συμφοραῖς ἐνισχομένων. Φόνος γὰρ πολὺς ἐκεῖ συνέβη.

11 Ἀττικὸς μάρτυς: Ἐπὶ τοῦ πιστοτάτου καὶ ἀληθεστάτου. C

12 Ἀττικὸς ὑπέχει τὴν χεῖρα ἀποθνήσκων: Ἐπὶ τῶν φιλαργύρων. Φιλοκερδεῖς γὰρ οἱ Ἀθηναῖοι.

13 Ἀτὰρ ἐκ καθαρῶν ἀχύρων τετρύτηκας σῖτον: Ἐπὶ τῶν μηδενὸς ἀγαθοῦ μεταλαγχανόντων.

14 Αὐλητοῦ βίον ζῇς: Ἐπὶ τῶν ἐξ ἀλλοτρίων βιούντων. D

15 [x]Αὐτόματα ὁ θεὸς ἀνίησι τὰ ἀγαθά: Ἐπὶ τῶν ἀπραγμόνως εὐδαιμονούντων.

16 Αὐτὸς αὑτὸν αὐλεῖ: Ἐπὶ τῶν ἑαυτοὺς δεικνυόντων τοῖς πράγμασιν, ὁποῖοί εἰσιν.

17 Ἑαυτὸν οὐ τρέφων, κύνας τρέφεις: Ἐπὶ τῶν ἀπορούντων μὲν, ἑτέρους δὲ τρέφειν κατεπαγγελλομένων. E

18 Αὐτὸς γὰρ [y]εὗρε τοῦ κακοῦ τὴν πιτύαν: Οἱονεὶ τὴν πηγήν. Ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπισπωμένων.

19 [z]Αὐτὸς ἔφα: Ἐπὶ τῶν ἀναφερόντων ἃ λέγουσιν ἐπί τινας.

20 Αὕτη τοι δίκη ἐστὶ θεῶν, οἳ Ὄλυμπον ἔχουσιν: Ἐπὶ F τῶν ἀμοιβῆς τυγχανόντων, ὧν πράττουσιν.

[t] Ἀστενὲς] Addit alter codex [sic b.]: Ὥσπερ αἲξ εἰς θάλασσαν, et Ἀτενὲς [sic b. g.] non Ἀστενές. Horat. in Od. libro II. *oculo irretorto Spectat acervos.* Quo de multa Lambinus, Lævinus Torrentius, et I. Dousa. SCHOTT. Vid. Apostol. IV. 70.

[u] Pro Ἄργου λόφος, in Pantini est Ἄργους λόφους. Et post 12. pro ὑπέχει, ὑπεύχει idem liber. SCHOTT. Ἄργους g. Ἄττης Apostol. IV. 79. et c.

[x] Citat Stobæus [CIII. 11.] ex Plutis Cratini. SCHOTT. αὐτομάτως—ἀνίει c.

[y] εὗρε] γὰρ εὗρε b.

[z] De Pythagora dictum, teste Suida, quem hîc vide. SCHOTT.

21 Αὐτὰ δι' αὐτῶν: Ἐπὶ τῶν ἀεὶ τὰ αὐτὰ λεγόντων. A

22 Αὐτῷ κρητῆρι [a]γίνηι κακά: Ἐπὶ τῶν οἷς καθ' ἑτέρων βουλεύονται, τούτοις περιπιπτόντων.

23 Ἄφθονοι Μουσῶν θύραι: Ἐπὶ τῶν ἥκιστα φθονερῶς διακειμένων ἐν λόγοις.

24 Ἀφ' ὑψηλοῦ μου καταγελᾷς: Οἷον, [b]πάνυ μου καταγελᾷς. B Ἐπὶ τῶν ἀφ' ὕψους διαλεγομένων.

25 Ἀχνυμένη [c]σκυτάλη: Ἐπὶ τῶν λυπηρὰς ἀγγελίας ἀγγελλόντων. Ἐπὶ ξύλου γὰρ ἔθος ἦν εἰλοῦντας τὸ γραφὲν, εἶτ' ἀπειλοῦντας, οἷς ἐβούλοντο πέμπειν. Οἱ δὲ δεχόμενοι, ἴσῃ σκυτάλῃ ἐφειλοῦντες ἀνεγίνωσκον τὸ γραμματεῖον. C

26 [d]Ἄμυρις μαίνεται: Ἐπὶ τῶν σωφρονούντων μὲν, δόξαν δέ τισι μανίας παρεχομένων. Ἄμυρις γάρ τις ἀκούσας χρησμοῦ λέγοντος, ὅτι ἕως τότε εὐδαίμονες ἔσονται Συβαρῖται, ἕως ἀνθρώπους θεῶν προτιμήσουσιν· εἶτα ἰδὼν μαστιγούμενον οἰκέτην ἐν ἱερῷ, καὶ οὐδὲν τοῦ ἱεροῦ φροντίζοντα τὸν δεσπότην, καὶ διὰ τοῦτο D ἀποφυγόντα τὸν δοῦλον εἰς τὸ μνῆμα τὸ πατρῷον τοῦ μαστιγοῦντος, καὶ τυχόντα φειδοῦς, συμβαλὼν τὸν χρησμὸν τέλος λαβεῖν, ἐξαργυρίσας τὴν οὐσίαν, ἀπεδήμησεν· ὃν ὁρῶντες ἔλεγον, Μαίνεται Ἄμυρις.

27 Ἄπαγε [e]μόθωνα ἀπὸ κώπης: Ἐπὶ τῶν διοχλούντων παρὰ E καιρὸν τοῖς σπουδάζουσιν. Ὁ γὰρ μόθων φορτικῆς ὀρχήσεως εἶδος.

28 Ἅπαντα τοῖς καλοῖς ἀνδράσι πρέπει: Δῆλον τοῦτο.

[a] γίνῃ κακά] Quid si legas γεύῃ *gustes?* SCHOTT.

[b] πάνυ μου καταγελᾷς] Suidæ Πάνυ μου καταφρονεῖς. Recte. SCHOTT.

[c] σκυτάλῃ] De scytale autem Laconica Agellius lib. XVII. Noct. Attic. cap. 9. Suidas, et Plutarchus in Lysandro. Tales fere hodie arcanæ principum litteræ, ultro citroque missæ. Ausonius Paulino: *Vel Lacedæmonium scytalen imitare, libelli Segmina Pergamei tenui circumdata ligno Perpetuo inscribens versu: qui deinde solutus Non respondentes sparso dedit ordine formas.* Pro ἐφειλοῦντες est in altero cod. ὑπειλοῦντες. SCHOTT.

[d] Ἄμυρις] Infra *Thamyrim* vocat, de quo nos ad Zenobium. Oraculum reperies apud Stephanum in Sybaris, et Athenæum lib. XII. [p. 520 A.] SCHOTT.

[e] μόθωνα] De hoc ὀρχήσεως genere Scholiast. Aristoph. in Plutum [279.] et Pollux lib. IV. Suidas μόθων legit, ejusque interpres *bellum* reddidit. SCHOTT.

29 [f] Ἀδελφὸς ἀνδρὶ παρείη: Ὅτι προτιμητέον τοὺς οἰκείους. A

30 [g] Ἅμαξα τὸν βοῦν ἕλκει: Ἐπὶ τῶν [h] ἀντιστρόφως τι ποιούντων.

31 [i] Ἀναγυράσιος δαίμων: Ὠμότατος γὰρ ὁ Ἀναγυράσιος οὗτος.

32 Ἀποτίσεις χοῖρε γίγαρτα: [j] Οἷον κατέφαγες, ἀποδώσεις πλείονα. B

33 Ἀρότροι ἀκοντίζεις: Ἐπὶ τῶν [k] ἀπερισκέπτως τὶ ποιούντων, καὶ [kk] κατόπιν μὴ προορωμένων, ἀλλὰ καθ' ἑαυτῶν ἐπιτελούντων.

34 Αὖθις αὖ Πυθῶδε ὁδός: [l] Ἐπὶ τῶν τὰ αὐτὰ πολλάκις πραττόντων. Εἴρηται δὲ ἐπὶ τῶν [m] πυνθανομένων. C

35 [n] Αὕτη ἡ μήρινθος οὐδὲν ἔσπακεν: Ἐπὶ τῶν μηδὲν ἑλκυσάντων. Εἴρηται δὲ ἐπὶ τῶν ἁλιέων.

36 [o] Ἀφ' ἱερᾶς: Ἀπὸ τῶν πεττευόντων μετῆκται· ἐν γὰρ τῇ πεττείᾳ ἔστι τὶς κύκλος καλούμενος ἱερὸς, ὃν κινοῦσιν ὕστατον.

37 [p] Ἀφροδίσιος ὅρκος, οὐκ ἐμποίνιμος δέ: Ἐπὶ τῶν ἐρωτικῶν. D

38 Αὐτὸν κέκρουκας τὸν βατῆρα τῆς θύρας: Οἷον, ἐπ' αὐτὰ [q] ἀφῖξαι τὰ πράγματα.

39 Ἄνθρωπος Εὔριπος: Ἐπὶ τῶν ῥᾷστα μεταβαλλομένων.

f Ἀδελφὸς] Schol. Platon. p. 149.

g Ἅμαξα] Lucian. Dial. Mort. VI. 2. T. I. p. 349.

h ἀντιστρόφως] ἀντιστρόφων g.

i Ἀναγυράσιος] De hoc plura Suidas in Ἀναγυράσιος ex Hieronymo quodam de Tragœdiarum scriptoribus: ubi oscitante Germano interprete, et hîc Erasmo, vertendum, *Pater oculis privavit, carcerique inclusit.* Sic enim ἐγκατῳκοδόμησε Plutarch. in Lycurgo [p. 45 A.] dixit. SCHOTT.

j Οἷον] Pro οἷον emendo ὅσων, vel ut Suidas, οἷον ἄν. Apostolius typis editus, οἷον ἃ κατέφαγες. Tale illud Nasonis, a Politiano explanatum: *Rode caper vitem: tamen hinc, cum stabis ad aram, In tua quod spargi cornua possit, erit.* SCHOTT.

k ἀπερισκέπτως] εὐπερισκέπτως g. qui ἢ pro τί.

kk κατόπιν] τὸ κατόπιν b. Seqq. om. c.

l Ἐπὶ τῶν τὰ αὐτὰ πολλάκις πραττόντων] Hæc accesserunt ex Pantini cod. et Apostolius agnoscit. SCHOTT. Desunt g.

m πυνθανομένων] ἐπιπυνθανομένων b.

n Αὕτη ἡ μήρινθος] Vid. Eustath. Il. ί. p. 760, 44.

o Ἀφ' ἱερᾶς] Integrum est, *A sacra linea talum moveo.* Quo de Erasmus ex Polluce et aliis. M. Ant. Muretus ac I. Lipsius ad Epistolam Senecæ 49. SCHOTT.

p Ἀφροδίσιος] Schol. Platon. p. 45.

q ἀφῖξαι] ἀφίξαι b. g.

40 Ἀρχαϊκὰ φρονεῖν: Ἀντὶ τοῦ εὐηθικά. A
41 Ἀμαξιαῖα: [r]Μεγάλα κομπάσματα.
42 Ἀρκάδιον βλάστημα: Ἐπὶ τῶν δειλῶν.
43 Βάκχης τρόπον: Ἐπὶ τῶν σιωπηλῶν. Παρ' ὅσον αἱ Βάκχαι σιγῶσι.
44 Βάτραχος Σερίφιος: Ἐπὶ τῶν ἀφώνων. Οἱ γὰρ ἐν Σερίφῳ B βάτραχοι οὐ φθέγγονται.
45 Βάκηλος εἶ: Ἐπὶ τῶν ἐκλύτων μεμαρτύρηται.
46 [s]Βοιώτειον οὖς: Ἐπὶ τῶν ἀναισθήτων.
47 Βοιώτεια αἰνίγματα: Ἐπὶ τῶν ἀσυνέτων. Ἐκ μεταφορᾶς τῆς Σφιγγός. C
48 Βοῦς ἐπὶ γλώσσης: Ἐπὶ τῶν μὴ δυναμένων παρρησιάζεσθαι. Διὰ τὸ τῶν Ἀθηναίων τὸ νόμισμα βοῦν ἔχειν· οἱ γὰρ δωροδοκούμενοι ἀφωνίᾳ κεκράτηνται.
49 Βοῦς Κύπριος εἶ: Ἤτοι κοπροφάγος. Τοιοῦτοι γὰρ οἱ ἐκεῖσε βόες. D
50 [t]Βοῦς ἕβδομος: Ἐπὶ τῶν ἄγαν ἀναισθήτων. Ἕβδομος δὲ, ὅτι ἓξ θύοντες, πρόβατον, ὗν, αἶγα, ὄρνιν, πετεινὸν, χῆνα, ἕβδομον τὸν βοῦν ἔθυον.
51 Βάλλ' ἐς ὕδωρ: Ἐπὶ τῶν ὀλέθρου ἀξίων.
52 [u]Βῶλος ἄρουραν: Ἐπὶ τῶν τοῖς σμικροῖς χαριζομένων τοὺς E μεγάλους.

[r] μεγάλα] μεγάλα καὶ ἀμαξιαῖα b.

[s] Βοιώτειον] Sic et *Batava auris* Martiali; de qua Belgii gente clara nunc armis et navigatione sic disserit Erasmus ipse Batavus. Βρώτειον ὗς, scriptum in Pantini cod. [sic b. c.] Sed Βοιωτία ὗς scrib. nisi si *Brutium suem* intelligat, a gente Italiæ *Brutiis*, crassis. Horat. lib. II. Epist. 1. ver. 244. *Bœotum in crasso jurares aëre natum.* Et Juvenalis Sat. X. ver. 50. sive de Abdera Democriti patria, sive de Megarensibus: *Vervecum in patria, crassoque sub aëre natus.* Antagoras quoque, (ut hîc refert Apostolius typis nondum editus) cum librum Thebaidos Bœotis recitasset, frigideque esset auditus: *Boum*, inquit, *aures habetis.* Δικαίως καλεῖσθε Βοιωτοί. Βοῶν γὰρ ὦτα ἔχετε. Ad nomen alludens. SCHOTT.

[t] Βοῦς ἕβδομος] *Bovem* inter sex immolanda Suidas numerat, ut septimus bos e farina fictus fuerit. Supra 48. ἀφωναίᾳ corrupte Palatinus liber: una demta littera sanavi, etsi ἀφωνίας Pantini codex. SCHOTT. Vid. Eustath. Il. p. 1165, 5.

[u] Βῶλος] βώλοις g. qui mox om. τοῖς.

53 Βοῦς ἐπὶ σωρῷ: Ἐπὶ τῶν ἡδυπαθούντων. A

54 Βοῦς [x]ἐπὶ ζυγόν: Ἐπὶ τῶν μοχθούντων ἀεί.

55 Βορβόρῳ ὕδωρ λαμπρὸν μιαίνων, οὔποθ' εὑρήσεις ποτόν: Ἐπὶ τῶν τὰ κάλλιστα μιγνύντων τοῖς χείροσιν.

56 Βάλλ' εἰς ἔχοντα τὴν ἐπιστήμην: Ἐπὶ τῶν λοιδορούντων τοὺς ὁμοτέχνους. B

57 Βατράχοις οἰνοχοεῖς: Πρὸς τοὺς ταῦτα παρέχοντας, ὧν οὐ χρήζουσιν οἱ λαμβάνοντες. Ὅμοιον· Γλαῦκας εἰς Ἀθήνας ἄγεις.

58 Βατράχῳ ὕδωρ καὶ γαλῇ στέαρ: Ἐπὶ τῶν ταῦτα διδόντων, οἷς οἱ λαμβάνοντες χαίρουσιν.

59 Βοῦς ἄμητον ἐπιτηρῶν: Ἐπὶ τῶν ἐπ' ὠφελείᾳ καμνόντων. C

60 Βοῦς ὁ Μολοττῶν: Ἐπὶ τῶν εἰς πολλὰ διαιρουμένων πράγματα. Οἱ γὰρ Μολοττοὶ τοὺς βόας ἐν ταῖς ἑορταῖς [y]εἰς πολλὰ διέτεμνον.

61 Βοῦς ἐπέβη: Ἐπὶ τῶν ἐξαίφνης σιωπώντων. Τὸ γὰρ ἀργύριον βοῦν εἶχε τῶν Ἀθηναίων. Οἷον οἱ δωροδοκούμενοι ἐσιώπων. D

62 Βὴξ ἀντὶ πορδῆς: Ἐπὶ τῶν [z]ἐν ἀπορίᾳ προσποιουμένων ἕτερόν τι πράττειν. Οἱ γὰρ περδόμενοι διὰ τὸ λανθάνειν βήττειν προσποιοῦνται.

63 Βάλλειν μήλοις: Ἐπὶ τῶν τυχεῖν ὧν ἐρῶσι βουλομένων. Παρήχθη δὲ ἀπὸ τῶν πεμφθέντων ἐπ' Ἀταλάντην μήλων. Προὔ- E
κειτο γὰρ [a]τῶν νικώντων δρόμῳ τὴν Ἀταλάντην ἔπαθλον ὁ ταύτης γάμος. Ὁ γοῦν Ἱππομένης εἰς ἅμιλλαν καταστὰς, βουλόμενος αὐτὴν νικῆσαι, χρυσᾶ μῆλα ἔρριψεν· καὶ περὶ τὴν τούτων συλλογὴν ἐκείνης ἀσχολουμένης, οὗτος ταύτην ὑπερέβαλε.

64 Βαλανεύς: Ἐπὶ τῶν πολυπραγμόνων. Οὗτοι γὰρ σχολὴν F
ἄγοντες, πολυπραγμονοῦσιν.

65 Βαβαὶ Μύξος: Ἐπὶ τῶν μεγαλαυχούντων. Οὗτος γὰρ ἱερεὺς τῆς Ἀρτέμιδος ὢν, μεγάλαυχος ἦν.

66 Βουδόρῳ νόμῳ: [b]Ἐπὶ τῶν ἀξίως δέρεσθαι ὡς οἱ βόες.

67 [c]Βοῦς ἐν πόλει: Ἐπὶ τῶν θαυμαζομένων. G

[x] ἐπὶ] ὑπὸ b.

[y] εἰς πολλὰ om. c. g.

[z] ἐν ἀπορίᾳ] Pro ἐν πορείᾳ malui reponere ἐν ἀπορίᾳ, sensu meliore. SCHOTT. ἐν πορείᾳ b. c. g.

[a] τῶν νικώντων] τῷ νικῶντι b. c.

[b] ἐπὶ τῶν ἀξίως—πόλει om. c. g.

[c] Debetur hoc proverbium Pet. Pantini, hominis longe eruditissimi, codici calamo exarato, in

68 [d]Βατταρίζειν: Ἀντὶ τοῦ τραυλίζειν. A

69 Βίος μεμαγμένος: Ἐπὶ τῶν ἐξ ἑτοίμου βιούντων.

70 Βοῦς ἐν ἀταξίῳ γέρων: Ἐπὶ τῶν δι' ἀσθένειαν ἡσυχαζόντων.

71 Γαλῆ Ταρτησία: Ὡς μεγάλων ἐκεῖ γινομένων.

72 Γλαῦξ ἵπταται: Ἡ πτῆσις τῆς γλαυκὸς νίκης σύμβολον B τοῖς Ἀθηναίοις ἦν.

73 Γυμνότερος λεβηρίδος: Ἐπὶ τῶν πάνυ πτωχῶν. Ἀντὶ τοῦ, Γυμνότερος ὄφεως δέρματος.

74 Γραῦς βακχεύει: Ἐπὶ τῶν παρ' ὥραν τὶ ποιούντων. Καὶ Ἀριστοφάνης, [e]Γραῦς καπρῶσα καὶ βακχεύουσα. C

75 Γυμνῷ φυλακὴν ἐπιτάττεις: [f]Δῆλον.

76 Γέλως συγκρούσιος: Ἄκοσμος καὶ ἄτακτος. Παρ' ὅσον τινὲς γελῶντες τὰς χεῖρας συγκρούουσιν.

77 [g]Γεράνδρυον μεταφυτεύειν: Ἐπὶ τῶν τοὺς παρηβηκότας εἰς μαθήματα ἀγόντων. D

78 Γόνυ κνήμης ἔγγιον: Ἐπὶ τῶν ἑαυτοὺς μᾶλλον ἑτέρων ἀγαπώντων. Ἐν πολέμῳ γάρ φασι τινὰ ἰδόντα ἀνεψιὸν καὶ ἀδελφὸν διαπονουμένους, [h]ὑπερασπίσαι τε τοῦ ἀδελφοῦ καὶ εἰπεῖν τοῦτο.

79 Γραῶν ὕθλοι: Ἐπὶ τῶν μάτην ληρούντων. E

80 Γηράσκω αἰεὶ πολλὰ διδασκόμενος: Ἐπὶ τῶν διὰ γῆρας ἐμπειροτέρων.

81 Γλαῦξ εἰς Ἀθήνας: Ἐπὶ τῶν [i]ἀχρήστους ἐμπορίας ἀγόντων. Ἐπειδὴ μάλιστα τοῦτο τὸ ζῶον ἐκεῖ ἐπιχωριάζον τυγχάνει.

Palatino desideratum; quo de sic Hesychius: Βοῦς ἐν πόλει, χαλκοῦς ὑπὸ τῆς βουλῆς ἀνατιθείς. Sup. paullo 66. ἀξίων quam ἀξίως legi malim. SCHOTT.

d Βατταρίζειν] Si a Batto derives βαττίζειν dicendum erat, a quo et βαττολογία; sin a βασσάρῳ, quæ Cyrenæis vulpes est, vel a Battaro coloniæ deductore, alia proverbii mens et origo fuerit de callidis et astutis. SCHOTT.

e Γραῦς] Aristophanes in Pluto [1024.] Ἀλλ' ἠπίστατο Γραὸς καπρώσης τάφδια κατεσθίειν. SCHOTT.

f Pro δῆλον, quod in Palat. legitur, φανερὸν in Pantiniano est, nullo rei discrimine. SCHOTT.

g Γεράνδρυον] Γεράνδριον g.

h ὑπερασπίσαι] Palatinus cod. ὑπερασπίσας, vitiose. Tentaram ὑπερασπίσαντά τε τοῦ ἀδελφοῦ. Sed Apostolius ὑπερασπίσαι, ut edendum curavi. SCHOTT.

i ἀχρήστους] εἰς ἀχρήστους g.

82 Γαλῆι χιτώνιον: Ἐπὶ τῶν τὰ [k] μὴ ἑαυτῶν περιβλήματα [l] ἐσθιόντων. A

83 Γαλῆι στέαρ: Ἐπὶ τῶν οἷς χαίρουσι ταῦτα λαμβανόντων.

84 Γαλῆν ἔχεις: Ἐπὶ τῶν ἀποτρεπτικῶν· παρ' ὅσον οἱ γαλῆν ἔχοντες οὐκ εὐτυχοῦσι. B

85 Γαστέρα μοι προφέρεις, κάλλιστον ὄνειδος ἁπάντων· Ἡ πλήρης μὲν ἐλαφροτέρα, κενὴ δὲ βαρεῖα: Ἐπὶ τῶν γαστριμάργων.

86 Γηρᾶι βοῦς, τὰ δὲ ἔργα πολλὰ τῶι [m] βοΐ: Ἐπὶ τῶν γεγηρακότων, καὶ μηκέτι χρησιμευόντων. C

87 Γέλως [n] Ἰωνικός: Ἐπὶ τῶν κιναίδων. Παρ' ὅσον οἱ Ἴωνες ἐπὶ τούτῳ διαβάλλονται. Ἐπὶ τῶν αὐτῶν καί, Γέλως Χῖος.

88 Γέλως [o] Μεγαρικός: Ἐπὶ τῶν ἀώρως θρυπτομένων. Ἤκμασε γὰρ ἡ Μεγαρικὴ κωμῳδία ἐπὶ χρόνον.

89 [p] Γέροντι μηδέποτε μηδὲν χρηστὸν ποιεῖν: Παραινεῖ D μηδένα ἀκαίρως εὐεργετεῖν.

90 [q] Γῆς βάρος: Ἐπὶ τῶν ἀχρήστων.

91 Γῆς ἔντερα: Ἐπὶ τῶν μηδενὸς ἀξίων.

92 Γάλα ὀρνίθων: Ἐπὶ τῶν σπανίων.

93 Γαλῆ διέπτατο: Ἐπὶ τῶν αἰσίῳ χρωμένων οἰωνῷ. E

[k] μὴ ἑαυτῶν] μὴ om. b. g.

[l] ἐσθιόντων] Pro ἐσθιόντων rectius fortasse ἐνδυόντων. Et proximo 83. adag. in Pantin. iterum χαίρουσιν lego, non χειροῦσι. Ut sup. adag. 58. SCHOTT.

[m] βοΐ] In Palat. lib. erat τῷ βίῳ, malui tamen sequi alterius auctoritatem, τῷ βοΐ. SCHOTT. βίῳ b. g.

[n] Ἰωνικὸς] De Ionum luxu Athenæus lib. XII. deque Ionico saltationis genere lib. XIV. et Horatius lib. III. Od. 6. *Motus doceri gaudet Ionicos.* Et Martialis Epigr. 1. SCHOTT.

[o] Μεγαρικὸς] In Erasmo *Ionica* præpostere editur pro *Megarica.* SCHOTT.

[p] Γέροντι] Est et in Suida, utiturque Aristot. lib. [I. 15.] Rhetor. et simile inf. Μηδέποτε ἔρδειν γέροντα, μηδὲ γυναῖκα, &c. SCHOTT.

[q] Γῆς βάρος] Homero frequens ἄχθος ἀρούρης, et Platoni in Theæt. Respicere videtur quod Stasinus poëta in Homeri Scholiaste ἀδήλῳ fabulatur de terra communi omnium parente, expostulante cum Jove quod tot hominum pondera sustinere nequiret. Hinc immissum ad exonerandum Thebanum ac Trojanum bellum. SCHOTT. v. Schol. Platon. p. 26.

94 ΓΑΥΚΥΣ [r]ΑΠΕΙΡΟΙ ΠΟΛΕΜΟΣ: Ἐπὶ τῶν [s]ὑπ' ἀπειρίας ἑαυτοὺς A καθιέντων εἰς κίνδυνον.

95 ΓΑΥΚΕΙΑ ΟΠΩΡΑ ΦΥΛΑΚΟΣ ἘΚΛΕΛΟΙΠΟΤΟΣ: Ἐπὶ τῶν ἄνευ μόχθου καὶ ἀφόβως τὰ ἀλλότρια καρπουμένων.

96 ΓΡΑΥΣ ὩΣ ΤΙΣ ἽΠΠΟΣ ΤΟΝ ΧΑΡΑΔΡΑΙΟΝ ΤΑΦΟΝ ἜΧΕΙΣ: Ἐπὶ τῶν ἀξίων τὰ ἔσχατα πάσχειν. Οἱ γὰρ γεγηρακότες ἵπποι εἰς B χαράδρας ἐμβάλλονται.

97 [t]ΓΡΑΥΣ ἈΝΑΚΡΟΤΗΣΑΣΑ ΠΟΛΥΝ ΚΟΝΙΟΡΤΟΝ ἘΓΕΙΡΕΙ: Ἐπὶ τῶν δι' ἐμπειρίαν πολλὰ πράγματα κινούντων.

98 ΓΥΜΝΟΤΕΡΟΣ ΠΑΤΤΑΛΟΥ: Ἐπὶ τῶν σφόδρα ἀπόρων.

99 ΓΥΓΟΥ ΔΑΚΤΥΛΙΟΣ: Ἐπὶ τῶν πολυμηχάνων καὶ πανούργων. C Γύγης γὰρ βουκόλος ὢν, τῆς γῆς ῥαγείσης εὗρε νεκρὸν φοροῦντα δακτύλιον, καὶ τοῦτον [u]περιελόμενος φύσιν ἔχοντα ὡς κατὰ στροφὰς τῆς σφενδόνης ὁρᾶσθαι ὅταν βούληται καὶ μὴ, δι' αὐτοῦ [x]ἀπέκτεινε τὸν βασιλέα καὶ ἦρξε.

100 ΓΥΠΟΣ ΣΚΙΑ: Ἐπὶ τῶν μηδενὸς [y]λόγου ἀξίων. D

IV. 1 [z]ΓΥΝΗ ΣΤΡΑΤΗΓΕΙ, καὶ, ΓΥΝΗ ΣΤΡΑΤΕΥΕΤΑΙ: Ἐπὶ τῶν δειλῶν.

2 ΓΥΜΝΟΣ ὩΣ ἘΚ ΜΗΤΡΑΣ: Ἐπὶ τῶν ἀπόρων.

3 ΓΥΝΑΙΚΟΣ ΦΡΕΝΕΣ: Ἐπὶ τῶν ἀνοήτων.

4 ΓΥΝΑΙΚΙ ΜΗ ΠΙΣΤΕΥΕ, ΜΗΔ' ἊΝ ἈΠΟΘΑΝΗΙ: [a]Ὅτι δεῖ γυναιξὶ E μὴ πιστεύειν.

5 ΓΥΝΑΙΚΩΝ [b]ὈΛΕΘΡΟΙ: Ἐπὶ τῶν οἰκτρῶς ἀναιρουμένων.

[r] ἀπείρων] Rectius forsitan ἀπείρῳ. Statim 96. ὥς τις divisa malim dictione ex Suida, quam ἵς τις, ut in Pantiniano. SCHOTT.

[s] ἐπ'] ὑπ' b.

[t] Γραῦς] Totidem verbis Suidas. Jos. Scaliger in carmen sic redigit in Stromateo: Γρῆϋς ἀνακροτέουσα, etc. Forte ἀπειρίαν rectius. SCHOTT.

[u] περιελόμενος φύσιν ἔχοντα ὡς] Ex Pantiniano accessio facta περιεχόμενος φύσιν ἔχοντα, ὁ τὰς καταστροφάς. Unde lectionem constituimus. SCHOTT. φύσιν ἔχοντα om. b. g. qui ὥστε pro ὡς.

[x] ἀπέκτανε] ἀπέκτεινε g.

[y] λόγου] Pro μηδενὸς λόγου, numero multitudinis est in eodem λόγων. SCHOTT.

[z] Γυνὴ] Suidas de re inopinata efferri ait: et seq. adagio ἐκ μητρὸς *a matre* legit Erasmus. SCHOTT.

[a] Ὅτι δεῖ] In Pant. scriptum, ὅτι δεῖ μὴ γυναικὰς πιστεύειν. SCHOTT.

[b] ὄλεθροι] ὀλέθριοι b. g.

6 ΓΕΝΝΑΙ͂ΟΣ ΕἾ ἘΚ [c] ΒΑΛΑΝΤΊΟΥ: Ἐπὶ τῶν διὰ πλοῦτον εὐγενῶν A εἶναι δοκούντων.

7 ΓΕ΄ΡΩΝ ἈΛΏΠΗΞ ΟὐΧ ἉΛΊΣΚΕΤΑΙ: Ἐπὶ τῶν διὰ πλῆθος [d] χρόνου οὐχ ἁμαρτανόντων.

8 ΓΛΑΎΚΟΥ ΤΈΧΝΗ: Ἐπὶ τῶν [e] μὴ ῥᾳδίως κατεργαζομένων. Ἀπὸ Γλαύκου Σαμίου, ὃς πρῶτον κόλλησιν ἐφεῦρε σιδήρου. Ἢ B ἐπὶ τῶν τεχνικῶς κατεσκευασμένων.

9 ΓΛΏΣΣΑ ΠΟΙ͂ ΠΟΡΕΎΗΙ; ΠΌΛΙΝ ἈΝΟΡΘΏΣΑΣΑ, ΚΑῚ ΠΌΛΙΝ [f] ἈΝΑΣΤΡΈΨΟΥΣΑ: Ἐπὶ τῶν διὰ λόγου ὠφελούντων ἢ βλαπτόντων.

10 ΓΡΑΥ͂Σ ἈΝΑΘΥΆΙ: Ἀντὶ τοῦ, καπρᾷ. Ἐπὶ τῶν παρ' ἡλικίαν γυναικιζομένων. Ὡς καὶ τὸ, "Γραῦς ἀναβακχεύει." C

11 ΓΕ΄ΡΩΝ ΒΟΥ͂Σ ἈΠΈΝΘΗΤΟΣ ΔΌΜΟΙΣΙΝ: Ἐπὶ τῶν [g] καθ' ὥραν τελευτώντων.

12 ΔΑΣΎΠΟΥΣ ΚΡΕΩ͂Ν ἘΠΙΘΥΜΕΙ͂: Ἐπὶ τῶν παρ' ἄλλων ἐπιζητούντων ἃ παρ' ἑαυτῶν ἔχουσι.

13 ΔΑΚΤΎΛΟΥ ἩΜΈΡΑ: Ἐπὶ τῶν εὐημερούντων. Δάκτυλος γάρ D τις ἐγένετο ἀνὴρ Ἀθήνῃσι μεγίστων τιμῶν λαχών.

14 ΔΑΦΝΊΝΗΝ ΦΟΡΩ͂ ΒΑΚΤΗΡΊΑΝ: Ἐπὶ τῶν ὑπό τινων [h] ἐπιβουλευομένων. Παρ' ὅσον ἀλεξιφάρμακον ἡ δάφνη.

15 [i] ΔΕΥΤΈΡΩΝ ἈΜΕΙΝΌΝΩΝ: Ἐπὶ τῶν θυομένων ἐκ δευτέρου, ὅταν αὐτοῖς τὰ πρότερα ἱερὰ μὴ καυθῇ, καὶ ἐπὶ δεύτερα τρα- E πῶσιν.

[c] βαλαντίου] Juvenalis Sat. III. *Quantum quisque sua nummorum servat in arca Tantum habet et fidei.* Et illud: *Et genus et formam regina pecunia donat.* SCHOTT.

[d] Pro χρόνου, quod et Zenobius agnoscit, nescio cur in Palatino χρυσίου. SCHOTT. χρυσίου item g. Eodem sc. compendio χ utrumque in MSS. exaratur vocabulum.

[e] μὴ ῥᾳδίως] Suidas absque negatione ἐπὶ τῶν ῥᾳδίως κατεργαζομένων. Herod. lib. I. [c. 25.] Glauco Chio σιδήρου κόλλησιν tribuit. Aristot. Lydo Scythæ, Theophrastus Delæ Phrygi, Strabo l. XIV. Telchinibus populis æris ac ferri conflationem adscribit. SCHOTT.

[f] ἀναστρέψουσα] ἀναστρέψασα b. g.

[g] καθ' ὥραν] Suidas hîc καθαρῶς habet. SCHOTT. In seq. παρ' dedi pro περί.

[h] βουλευομένων] Suidas sic: ὑπό τινων ἐπιβουλευόμενοι. SCHOTT. ἐπιβουλευομένων b.

[i] Δευτέρων] Ita *victimæ succedaneæ* Agellio lib. IV. cap. 6. quæ primis hostiis non litantibus subrogabantur. Plautus in Pœnulo, Act 2. Scen. 1. *Tum me Jupiter faciat ut semper sacrificem, nec umquam litem.* SCHOTT.

16 Δι' ὀξείας δραμεῖν: Ἐπὶ τῶν διακινδυνευόντων. [k] Ὀξεῖαν A
γὰρ λέγουσι τὴν λόγχην.

17 [l] Δίκην ὑφέξει κἂν ὄνος δάκῃ κύνα: Ἐπὶ τῶν ἐπὶ μικρῷ συκοφαντουμένων.

18 [m] Δὶς παῖδες οἱ γέροντες: Ἐπὶ τῶν πρὸς τὸ γῆρας εὐηθεστέρων. B

19 Δὶς πρὸς τὸν αὐτὸν αἰσχρὸν προσκρούειν λίθον: Φανερόν.

20 Δὶς καὶ τρὶς τὸ καλόν: Δῆλον τοῦτο.

21 [n] Δῶρα θεοὺς πείθει, καὶ αἰδοίους βασιλῆας: Ἐπὶ τῶν διὰ δῶρα τὰς δίκας ἀντιστρεφόντων. C

22 Δίκης δικαιότερος: Ἐπὶ τῶν σφόδρα δικαίων καθ' ὑπερβολήν.

23 [o] Δοῖδυξ αὔξει: Ἐπὶ τῶν μὴ αὐξανομένων. Ὁ γὰρ δοῖδυξ μικρός ἐστι καὶ στρογγύλος.

24 Διὸς ἐγκέφαλος: Ἐπὶ τῶν [p] ἡδυπαθούντων. Οἱ δὲ ὅτι τὰ D
πολυτελῆ βρώματα παρὰ Πέρσαις Διὸς [q] ἐγκέφαλος λέγονται.

25 Δαιδάλου πτερά: Ἐπὶ τῶν δι' ἀπορίαν χρωμένων προσθήκῃ παρελκούσῃ.

26 [r] Δελφὸς ἀνὴρ στέφανον μὲν ἔχει, λίψει δ' ἀπολωλώς:

[k] Ὀξεῖαν γάρ] Accessio hæc Pantiniano cod. accepta est referenda. SCHOTT. om. g.

[l] Δίκην] Tale est illud Valerii Martialis: *Dic nunc, Postume, de tribus capellis*. SCHOTT.

[m] Δὶς παῖδες] Vid. Luciani Saturn. T. III. p. 392. Schol. Platon. p. 252.

[n] Δῶρα] Versus extat apud Platonem lib. III. de Rep. [p. 390E.] Euripides in Medea: Πείθειν δῶρα καὶ θεοὺς λόγος. Et Naso: *Munera, crede mihi, placant hominesque deosque*. SCHOTT.

[o] Δοῖδυξ] Debetur hoc proverbium Pet. Pantini nostri exemplari: abest enim a Palatino. Vide quæ ad Zenobium. SCHOTT. om. g.

[p] ἡδυπαθούντων] Zenob. Suid. et Apostol. ἡδυπαθούντων verius legunt, quam δυσπαθούντων [sic b. g.] quod hîc scriptum: sed hanc loco movere vocem placuit. SCHOTT.

[q] ἐγκέφαλος] ἐγκέφαλοι g.

[r] Δελφὸς] Hic quoque locus ex eodem Pantini codice instauratus, legiturque in Suida paulo sequius. Heroico autem versui non abludit illud Aristophanis in Equitibus [531] per parodiam hinc factum, jactatumque oblique, ut solet, in Cratinum ebriosum poëtam: Ὥσπερ Κοννᾶς, στέφανον μὲν ἔχων αὖον, δίψῃ δ' ἀπολωλώς. Cui non dissimile hodieque vulgus nostratium de rei tenuis et angustæ nobilibus viris, fame pereuntibus in fumosarum imaginum ostentatione.

Οὗτοι γὰρ διὰ τὸ ἱερῶσθαι ἐστεφανωμένοι μέν εἰσι, δίψει δ' ἀπόλ- A
λυνται. Ἀντὶ τοῦ, τῶν δὲ ἀναγκαίων ἀποροῦσι.

27 ΔΈΧΕΤΑΙ ΚΑῚ ΒΩ͂ΛΟΝ ἈΛΉΤΗΣ: Ἐπὶ τῶν πάντα δεχομένων. Ἀλήτην γάρ φασί τινα βουκόλῳ συναντήσαντα αἰτῆσαι τροφὴν, ἄραντα δ' ἐκεῖνον βῶλον δοῦναι αὐτῷ ὡς τοῦ Διὸς ὄντα· τὸν δὲ τοῦτο εἰπεῖν. B

28 ΔΙΚΑΙΌΤΕΡΟΣ ΣΤΑΧΆΝΗΣ: Ἐπὶ τῶν τὰ δίκαια ἀγαπώντων. Σταχάνην γὰρ οἱ Δωριεῖς τὴν τρυτάνην καλοῦσι παρὰ τὴν στάσιν.

29 ΔΙΚΤΎΩι ἌΝΕΜΟΝ ΘΗΡΑ͂ΙΣ: Ἐπὶ τῶν ἀνοήτως τι ποιούντων.

30 ΔΙᾺ ΔΑΚΤΥΛΊΟΥ ΔΕΙ͂ ΣΕ ἘΛΚΥΣΘΗ͂ΝΑΙ: Ἐπὶ τῶν διὰ λύπην ἢ C
νόσον ἰσχνῶν γινομένων.

31 ΔΙᾺ ΤΟΥ͂ ΤΟΊΧΟΥ ΛΑΛΕΙ͂Ν: Ἐπὶ τῶν ἀναισθήτων.

32 ΔΊΧΟΛΟΙ ΓΝΩ͂ΜΑΙ: Οἱονεὶ δίτροποι. Ἐπὶ τῶν διγνώμων.

33 ΔΕΛΦΙ͂ΝΑ ΝΉΧΕΣΘΑΙ ΔΙΔΆΣΚΕΙΣ: Ἐπὶ τῶν [s] ἄκρως εἴς τι πεπαιδευμένων, καὶ προσποιουμένων παρά τινων μανθάνειν. D

34 ΔΈΔΟΤΑΙ ΚΑῚ ΚΑΚΟΙ͂Σ ἌΓΡΑ: Ἐπὶ τῶν παρ' ἀξίαν εὖ πραττόντων.

35 [t] ΔΕΙΝΟῚ [u] ΠΛΈΚΕΙΝ ΤΟΙ ΜΗΧΑΝᾺΣ ΑἸΓΎΠΤΙΟΙ: Ἐπὶ τῶν σφόδρα κακούργων. Τοιοῦτοι γὰρ οἱ Αἰγύπτιοι.

36 ΔΙῸΣ ΨΗ͂ΦΟΣ: Ἐπὶ τῶν ἱερῶν καὶ ἀθίκτων· ἢ ἐπὶ τῶν πι- E
θανῶν.

37 ΔΕΛΦΙ͂ΝΑ ΠΡῸΣ ΤῸ ΟΥ̓ΡΑΙ͂ΟΝ ΔΕΙ͂Σ: Ἐπὶ τῶν ἀδυνάτων. [x] Εὐκίνητος γάρ.

38 ΔΙᾺ ΠΑΛΑΙΑ͂Σ ἩΜΈΡΑΣ: Ὥσπερ διὰ χρόνου.

39 [y] ΔΊΖΕΣΘΑΙ ΒΙΟΤΗ͂Ν, ἈΡΕΤῊΝ Δ' ὍΤΑΝ ἮΙ ΒΊΟΣ: F

Est et aliud affine apud Plutarchum lib. VII. Symposiacωn [p. 709 A.] Δελφοῖσι θύσας αὐτὸς ὀψωνεῖ κρέας. SCHOTT. In g. om. δ' ἀπολωλὼς—δίψει δ', qui ἀπόλλυται pro ἀπόλλυνται.

[s] ἄκρως] Forte ἀκριβῶς legendum pro ἄκρως. Aliter explanat proverbium Zenobius, et Suidas. SCHOTT. ἄκρω g.

[t] Δεινοὶ] Iambicum, addito ex Apostolio τὸ articulo, constituimus. SCHOTT.

[u] πλέκειν τοι] τοι om. g.

[x] Ἀκίνητος scriptum vitiose, rectius in Pantiniano et Suida εὐκίνητος, quod in contextum recepimus. SCHOTT.

[y] Idem cum illo Flacci: *Quaerenda pecunia primum est, Virtus post nummos.* SCHOTT.

40 Ἐνδυμίωνος ὕπνον καθεύδεις: Ἐπὶ τῶν ὑπνωδῶν· ἐν τινι A
γὰρ πόλει [z]ἠράσθη ὁ Ὕπνος παιδὸς Ἐνδυμίωνος.

41 Ἐκ τριχὸς κρέμαται: Ἐπὶ τῶν σφόδρα κινδυνευόντων. Ταυτὸ δέ ἐστι τῷ, Ἐπὶ ξυροῦ βαίνειν.

42 [a]Ἐκ λύκου στόματος ἀφείλω: Ἐπὶ τῶν ἀνελπίστως λαμβανόντων. B

43 Ἐλέφαντος διαφέρεις οὐδέν: Ἐπὶ τῶν ἀναισθήτων.

44 Ἐν πίθῳ τὴν κεραμείαν μανθάνεις: Ἐπὶ τῶν τὰς πρώτας μαθήσεις ὑπερβαινόντων, μανθανόντων δὲ τὰ μείζονα.

45 Ἐλέφας μῦν οὐχ ἁλίσκει: Ἐπὶ τῶν τὰ μικρὰ ἢ φαῦλα παρορώντων. C

46 [b]Ἐλέφαντας ἐκ μυίας ποιεῖς: Ἐπὶ τῶν τὰ μικρὰ ἐπαιρόντων τῷ λόγῳ.

47 Ἐλεύθεραι αἶγες ἀρότρου: Ἐπὶ τῶν βάρους ἀπηλλαγμένων.

48 Ἔνεστι κᾀν μύρμηκι χολή: Μηδὲ τῶν μικρῶν καταφρονεῖν. Ὁμοία τῇ, "Ἀγροίκου μὴ καταφρόνει ῥήτορος." D

49 Ἐκ τοῦ εἰσορᾶν γίνεται ἀνθρώποις ἐρᾶν: Δῆλον.

50 Ἐν σκότῳ ὀρχεῖσθαι: Ἐπὶ τῶν ἀμάρτυρα μοχθούντων.

51 Ἐν θέρει τὴν χλαῖναν κατατρίβεις: Ἐπὶ τῶν μὴ καθ' ὥραν τοῖς ἀναγκαίοις χρωμένων.

52 [c]Ἐν πυρὶ βέβηκας: Ἢ ἐπὶ αἰσχίστου, ἢ ἐπὶ τάχους. E

53 Ἐν μέλιτι σαττὸν καταπάττεις: Ἐπὶ τῶν ἡδυπαθεῖν διωκόντων.

54 [d]Ἐνδύετέ με τὴν λεοντῆν: Ἐπὶ τῶν μεγάλοις ἐπιχειρούντων.

[z] ἠράσθη] ἐρασθεὶς in Pantiniano, non ἠράσθη. Endymionem autem a Luna soporatum, ut osculum ei furtim raperet, auctor est I. Tusculana M. Tullius: in Latmo autem obdormiisse, et a Luna non Somno adamatum. Mox 41. in Theocrito et Homero est, ἐπὶ ξυροῦ ἀκμῆς. SCHOTT. ἐρασθεὶς b.

[a] Deesse hîc arbitror σωτηρίαν, vel quid simile. SCHOTT.

[b] Ἐλέφαντας] Ἐλέφαντα scriptum in eodem codice, et pro ἐκ μυίας, repperi ἐκ μυιός. SCHOTT.

[c] Ἐν πυρὶ] Vel in periculosis quoque, ut Horatius Asinio Pollioni historiam scribenti libro II. Od. 1. v. 6. *incedis per ignes Suppositos cineri doloso.* In Theocrito et Scholiaste est etiam, *Non incedis per ignem.* Erasmo Chil. IV. Cent. 6. Adag. 32. SCHOTT.

[d] Ἐνδύεται] Pantini cod. Ἐνδύεταί μοι scriptum habebat. Et 55. οἷον: ἐν γάρ. SCHOTT. Ἐνδύεται b.

55 [e] Ἐν δὲ διχοστασίῃ καὶ Ἀνδροκλῆς πολεμαρχεῖ: Ἐπὶ A
τῶν εὐτελῶν μὲν, διὰ δέ τινα ταραχὴν εὐδοκιμούντων. Ὅμοιον,
[f] Ἐν γὰρ ἀμηχάνοις καὶ καρκίνος ἔμμορε τιμῆς. [Αἰπόλει
σοί φησιν ἡ παροιμία.]

56 [g] Ἐν ἀμούσοις καὶ Κόρυδος φθέγγεται:

57 [h] Ἐρετριέων ῥῶ: Ἐπὶ τῶν κατακόρως τισὶ χρωμένων. B
Κατακόρως γὰρ [i] οὗτοι χρῶνται τῷ ῥῶ.

58 [k] Ἐν Σάμῳ κομήτης: Ἐπὶ τῶν οὐδὲν [l] χάριεν λεγόντων.
Οἱ γὰρ οἰκοῦντες ἐκεῖσε πρὸς χορούς ἐπιτήδειοι, οὐ πρὸς ἄλλο τι
χρήσιμον.

59 Ἐν τριόδῳ εἰμί: Ἐπὶ τῶν ἀδήλων. Οὐκ εἰδὼς ὁποίᾳ ὁδῷ C
χρήσομαι.

60 Ἐπακτὸς ὅρκος: Ὃν ἕτερος ἐπάγει. Οἷον [m] βίαιος, οὐκ
αὐθαίρετος.

61 Ἐπειοῦ [n] δειλότερος: Ἐπὶ τῶν δειλῶν. Τοιοῦτος γὰρ
Ἐπειός τις ἐγένετο. D

62 Ἐπὶ τὰ [o] Μανδραβόλου: Ἐπὶ τῶν ἐπὶ τὸ χεῖρον προκοπτόντων. Ὁ γὰρ Μανδράβολος εὑρών ποτε θησαυρὸν, πρόβατον
χρυσοῦν ἀνέθηκε τοῖς θεοῖς, εἶτα ἐν τῷ δευτέρῳ ἀργυροῦν, εἶτα ἐν
τῷ τρίτῳ χαλκοῦν.

e Ἐν δὲ] δὲ om. g.

f Ἐν] Ἐν γὰρ b.

g Superioribus hoc ut affine Zenobius [III. 77.] adjunxit. Vetus autem codex Pantini V. Cl. præmittebat αἰπόλει σοι φησὶν ἡ παροιμία. Ex quibus depravatis nihil eruo, nisi forte caprariis usitatum fuisse. Plura hîc Erasm. et nos ad Zenobium. Simile etiam Theocriti illud Idyll. V. [136.] Οὐ θεμιτὸν Λάκων ποτ' ἀηδόνα κίσσας ἐρίσδειν. Et Paulini ad Ausonium: *Si confers fulicas cygnis et aëdona parris.* Ubi V. Cl. *picis* legit. SCHOTT.

h Alludit Plato in Cratylo [p. 434 C.] in voce Eretriensium σκληρότηρ pro σκληρότης. SCHOTT.

i οὗτοι] γὰρ οὗτοι b.

k Ἐν Σάμῳ] Corrupte in Palatini lib. Ἐν γάμῳ κομίτης: Reposui Ἐν, vel ἐκ Σάμου κομήτης. Sic enim περιφράζοντες Pythagoram sui nominabant, teste Jamblicho, qui alium proverbii usum commonstrat, cap. 2. et 6. quod suo ævo durarit: qua uterentur ad designandum aliquem summa gravitate et religione. Sic enim ait: Διόπερ ἔτι καὶ νῦν ἡ παροιμία τὸν ἐκ Σάμου κομήτην ἐπὶ τῷ σεμνοτάτῳ διακηρύττει. Vide et Appendicem proverbiorum infra. SCHOTT. Scil. B. 422.

l χάριεν] χρήσιμον g.

m βίαιος] βίος g.

n δειλότερος] δολότητα b.

o Μανδραβόλου] Μανδροβόλου b. g.

63 ἙΡΜΗ͂Σ [p]ἈΜΎΗΤΟΣ: Ἐπὶ τῶν μᾶλλον ἔν τισιν ἐμπείρων· A
χλευαστικὴ δὲ ἡ παροιμία. Ὁμοία τῇ· ΒΆΛΛ' ἘΣ ἜΧΟΝΤΑ ΤῊΝ ἘΠΙΣΤΉΜΗΝ.

64 [q]ΕἸ ΚΑῚ ΛΎΚΟΥ ἘΜΝΉΣΘΗΣ: Ἐπὶ τῶν ὧν ἂν μνησθῶσιν ἐγγὺς παραγινομένων.

65 [r]ΕὝΔΟΝΤΙ ΚΎΡΤΟΣ ΑἹΡΕΙ͂: Ἐπὶ τῶν ἐργασαμένων εὐτυχῶς λέ- B
γεται. Συμβαίνει γὰρ κοιμωμένων τῶν ἁλιέων τὸν κύρτον αἱρεῖν ἰχθύας.

66 [s]ἝΛΚΩΝ ἘΦ' ἙΑΥΤῸΝ, ὭΣΠΕΡ ΚΑΙΚΊΑΣ ΝΈΦΟΣ: Ἐπὶ τῶν ἐπισπωμένων ἑαυτοῖς κακά.

67 ἘΡΉΜΗ ΔΊΚΗ: Ὅταν μὴ ἀπαντήσας ὁ διωκόμενος καταδι- C
κασθῇ.

68 [t]ἙΣΤΊΑΙ ΘΎΕΙ: Ἐπὶ τῶν πολλὰ [u]ἑστιώντων. Παρ' ὅσον οἱ ταύτῃ θύοντες οὐδὲν τῆς θυσίας ἐξέφερον. Ὁμοία τῇ, ΑὙΤΩ͂Ι ΚΑΝΩ͂Ι ΚΑΤΈΦΑΓΕ ΠΆΝΤΑ.

69 [x]ἙΤΕΡΟΜΌΛΙΟΣ ΔΊΚΗ: Εἰς ἣν οἱ ἀντίδικοι οὐκ εἰσῆλθον. D

70 ἜΦΕΣΙΣ: Ἡ ἀπὸ τοῦ δικαστηρίου εἰς ἕτερον δικαστήριον μετάβασις.

71 ἜΞΩ ΒΕΛΩ͂Ν [y]ΚΑΘΗ͂ΣΘΑΙ: Παραινετικὴ ἡ παροιμία.

72 ΕὐΜΕΤΑΒΟΛΏΤΕΡΟΣ ΚΟΘΌΡΝΟΥ: Ἐπὶ τῶν πᾶσιν ἐφαρμοζόντων. Ἔστι δὲ εἶδος ὑποδήματος ἐφαρμόζον τοῖς δυσὶ ποσίν. E
Ὁμοία τῇ, ΠΟΙΚΙΛΏΤΕΡΟΣ ὝΔΡΑΣ. Καί, ΕὔΡΙΠΟΣ ἌΝΘΡΩΠΟΣ. Καί, ΓΎΓΟΥ ΔΑΚΤΎΛΙΟΣ.

p ἀμύητος] ἀμύθητος legit etiam Erasmus, sed nihil equidem mutandum censui. SCHOTT.

q εἰ καὶ λύκου] Affine illud Comici Latini: *Lupus est in fabula.* SCHOTT.

r Εὕδοντι] Simile Timothei ducis dictum narrat Plutarchus: ex quo vide quæ nos ad Zenobium. Ἐπιτυχῶς autem Pantini præfert cod. SCHOTT.

s Ἕλκων] Utitur Plutarchus non semel, et Agellius lib. II. cap. 22. ex Aristotele; cui adde Plinium lib. II. cap. 47. Et Aristophanem in Equitibus [435.] Ὡς οὗτος ἤδη Καικίας καὶ συκοφαντίας πνεῖ. Ubi Scholiastes legendus. SCHOTT.

t Ἑστίᾳ] Aliam hujus adagii explanationem habes supra [II. 40.] loco non suo, in A. ἐπὶ τῶν κρύφα πραττόντων. SCHOTT.

u ἑστιώντων] ἐσθιόντων b. g.

x Ἑτερομόλιος hîc rectius, quam ἑτερονόμος, Pantini membranæ præferebant, ut et Suidas. Depravate Hesych. Ἑτερόμυνος δική. SCHOTT.

y καθεῖσθαι] καθῆσθαι b.

73 [z] Ἔλθοι ξένος, ὅστις ὀνήσει: Θετταλῶν καταστρέψας A πόλεις ὁ Φίλιππος, καὶ τοὺς ξένους πωλήσας, εἴρηκε τοῦτο.

74 Ἔφυγον κακὸν, εὗρον ἄμεινον: Ἐπὶ τῶν μεταβολὴν κρείττονα οἰωνιζομένων· ἢ καὶ ἐπὶ τῶν παρελθόντων. Οἱ γὰρ παλαιοὶ εἰς ἀνάμνησιν τῆς πρώην ζωῆς ἐρχόμενοι ἔλεγον τοῦτο.

75 Εἰ μὴ πατὴρ [a] ἦσθα: Λείπει τὸ, εἶπον ἄν σε οὐκ εὖ φρονεῖν. B Παρὰ [b] Σοφοκλεῖ.

76 [c] Εὐρυβατεύεσθαι: Ἐπὶ τῶν πονηρευομένων· εἷς γὰρ τῶν Κερκώπων Εὐρύβατος.

77 [d] Ἐμπεδοκλέους ἔχθρα:

Ὤμην δὲ, φησὶν (Λυσίας), ἐγὼ τοιαύτῃ φιλίᾳ συνηρμόσθαι [e] σοι, ὥστε μηδ' C ἂν τὴν Ἐμπεδοκλέους ἔχθραν ἰσχῦσαι διαστῆσαι.

78 [f] Ἐφέσια γράμματα: Ἐπῳδαί τινες ἦσαν, [g] ἅσπερ οἱ φωνοῦντες ἐνίκων ἐν παντί. Ταυτὸ τῇ, Δαφνίνην φορῶ βακτηρίαν.

[z] Ἔλθοι] Ex Theopompo historiam refert Zenobius, in ξένος, etc. Forte pro τοὺς ξένους, scriptum reliquit Diogenianus, ἐχθροὺς, *hostes*. Sed et initio linguæ Lat. *hostis*, pro *hospite*; unde *hostire*, *hostimentum*. Quæ hîc adjecta erant loco non suo, superiori adagio vindicavimus. SCHOTT.

[a] ἦσθα] οἶσθα g. qui mox σοι pro σε.

[b] Σοφοκλῆ] Sophocl. in Antigona [755.] verba sunt Hæmonis ad Creontem patrem: Εἰ μὴ πατὴρ ἦσθ', εἶπον ἄν σ' οὐκ εὖ φρονεῖν. Congruit fortasse illud Comici in Adelphis: *Disce pater esse ab iis qui vere sunt.* Repetitur et infra in ἡ ἀπὸ Σκυθῶν ῥῆσις, non oportune, ut arbitror. SCHOTT.

[c] Explicat Suidas, et Chiliastes copiosius, e Luciano, aliisque. Meminit et Aristænetus in Epist. Eroticis. SCHOTT.

[d] Supplevimus Λυσίας e Suida: qui et usum proverbii de pertinaci odio interpretatur. SCHOTT.

[e] σοι addunt b. g.

[f] Ἐφέσια] De *Ephesiis litteris* Hesychius, Suidas, et Eustathius in φ'. Odyss. [τ'. p. 1864, 14.] Utitur et Anaxilas apud Athenæum lib. XII. Δειπνοσοφιστῶν [p. 548 C.] ita emendante εὐστόχως Jos. Scaligero: Ἐν σκυτέεσσι φοροῦσι Ἐφεσήϊα γράμματα καλά. Mich. Apostolius hîc, sed ille typis adhuc ineditus, addit iis quæ hoc loco Diogenianus habet: Ὁ δὲ Διογενειανὸς λέγεται, φησὶν, ἐπὶ τῶν ἀνεπίγνωστα λεγόντων, παρ' ὅσον ἐπὶ τοῖς ποσὶ τῆς Ἐφεσίας Ἀρτεμίδος τὰ γεγραμμένα ἀσύνετα. Illud mirari subit, cur hodieque proverbii vice usurpent Hispani, *Ad Ephesios mitti*: eadem fere forma qua Flaccus illud [Ep. I. 20, 13.] *unctus mitteris Ilerdam*. SCHOTT. Vid. Wyttenbach. ad Plutarch. II. p. 85 B.

[g] ἅσπερ] αἵσπερ g. qui mox φορῶν.

79 Εἰς τὸν λιμένα: Ἀπὸ τῶν ἐν λιμένι ἐρεσσόντων, ἔξω δὲ ῥα- A
θυμούντων.

80 Ἐπιχώριοι [h] οὖρον ἴσασι: Τὸν ἐπιτήδειον ἄνεμον. Ὁμοία τῇ, Ἀπὸ χοέως σπάσον.

81 [i] Ἐν οἴνῳ ἀλήθεια: Παρ' ὅσον οἱ οἴνῳ χρώμενοι τὰ ἀπὸ
καρδίας λαλοῦσιν. B

82 [k] Ἐχθρῶν ἄδωρα δῶρα οὐκ ὀνήσιμα: Δῆλον. Ἐπί τινι καὶ παρὰ Σοφοκλεῖ.

* Εἰς κόλπον οὐ πτύει: Ἐπὶ τῶν μεγαλαύχων.

83 Ἐν γῆι πένεσθαι μᾶλλον, ἢ πλουτοῦντα πλεῖν:

84 Εὐγενέστερος Κόδρου: Ἀπὸ γὰρ Δευκαλίωνος ἦν, καὶ ὑπὲρ C
τῆς πατρίδος ἀπέθανεν. Ὁμοία τῇ, Ἄξιος τῆς ἐν Ἄργει ἀσπίδος.

85 Ἐπ' ὄνου πόκος: Ἐπὶ τῶν εἰς ἀδύνατα [l] ἀναβαλλομένων. Ἀπ' ὄνου γὰρ οὐκ ἔστι [m] πόκος.

86 Ἐς Κυνόσαργες, Ἐς ἀνηλίου πύλας: Ἐπὶ τῶν ὁμοίων D
καὶ αὗται.

87 [n] Ἐλευθεριώτερος Σπάρτης: Διὰ τὸ ἀνυπότακτον καὶ γενναῖον φρόνημα. Διὸ οὐδὲ τειχισθῆναι λέγει τὴν Σπάρτην.

88 Ἔνθ' οὔτε μίμνειν ἄνεμος, οὔτε πλεῖν ἐᾶι: Ἐπὶ τῶν
δυσχρήστοις [o] περιπεσόντων. E

89 [p] Ἔρρει τὰ κᾶλα: Ἐπὶ τῶν κακόν τι βουλομένων δηλῶσαι

[h] οὖρον] οὐραῖον g.

[i] Ἐν οἴνῳ] Tale illud Horatii Sat. 4. lib. I. *Condita cum verax aperit præcordia Liber.* Et lib. III. Od. 21. *Tu lene tormentum ingenio admoves Plerumque duro.* SCHOTT.

[k] Duo hæc proverbia pro uno recensita a Palatino aberant [et b. g.] e fuga retraxi ex Pantini nostri exemplari. Ad prius refero illud Maronis II. Æneid. [49.] *Quidquid id est, timeo Danaos, et dona ferentes.* Ad alterum illud Juvenalis, Sat. VII. v. 112. *Tunc immensa cavi spirant mendacia folles; Conspuiturque sinus.* SCHOTT.

[l] ἀναβαλλομένων] μεταβαλλομένων g.

[m] πόκος] πόκας est in Pantini libro pro πόκος. SCHOTT.

[n] Ἐλευθεριώτερος] ἐλευθεριωτέρα g. qui mox ἀνυπότακτος.

[o] Περιπεσόντων] Suidas eadem, nisi quod παραπεσόντων legit. Dictum est Philoctetæ apud Æschylum. SCHOTT.

[p] Ἔρρει] Historia est apud Xenophontem libro I. [1, 23.] παραλειπομένων. Tale illud Persianum Sat. V. ver. 103. *Exclamat Melicerta perisse Frontem de rebus.* SCHOTT.

συντόμως. Ἱπποκράτης γὰρ [p]ἡττηθεὶς, Μινδάρῳ ταύτην ἔπεμψεν A
τὴν ἐπιστολήν.

90 ΕΥΡΗΚΑ Ο ΟΥΚ ΕΖΗΤΟΥΝ: Ἐπὶ τῶν οἷς οὐκ ἤθελον περιπεσόντων.

91 ἘΧΙΝΟΣ ΤΟΝ ΤΟΚΟΝ ΑΝΑΒΑΛΛΕΙ: [q]Ἐφ' ᾧ τὸ ἀναβάλλεσθαι [r]πρὸς χεῖρόν ἐστι. Καὶ γὰρ οἱ χερσαῖοι ἐχῖνοι δοκοῦσι κεντού- B
μενοι ἀνέχειν τὸν τόκον, εἶθ' ὕστερον τραχυτέρων τῶν τέκνων γινομένων ὀδυνηρότερον ἀπαλλάσσονται.

92 ἘΚ ΓΕΥΜΑΤΟΣ ΓΙΝΩΣΚΩ: Ἐπὶ τῶν ἐκ μικροῦ τινα καταλαμβανόντων, [[s]ὡς ἐπ' οἴνου.]

93 [t]ΕΙΣ ΣΚΩΛΟΝ ΜΗΤ' ΑΥΤΟΣ ΙΜΕΝ, ΜΗΤ' ΑΛΛΩΙ ΕΠΕΣΘΑΙ: C
Παραινετική. Τραχεῖα γὰρ ἡ Σκῶλος καὶ δύσβατος.

94 ΖΑΛΕΥΚΟΥ ΝΟΜΟΣ: Ἐπὶ τῶν ἀποτόμων. Ζάλευκος γὰρ Λοκρῶν ἐνομοθέτησεν ὠμότερα. [u]Ὁμοία καὶ, ΤΕΝΕΔΙΟΣ ΠΕΛΕΚΥΣ.

95 ΖΕΥΣ ΚΑΤΕΙΔΕ ΧΡΟΝΙΟΣ ΕΠΙ ΔΙΦΘΕΡΑΣ: Ἐπὶ τῶν βραδέως τιμωρουμένων. Λέγεται γὰρ τὸν Δία πάντα τὰ πραττόμενα εἰς D
διφθέρας [x]ἀπογράφεσθαι.

96 [y]ΖΕΙ ΧΥΤΡΑ, ΖΗΙ ΦΙΛΙΑ: Ἐπὶ τῶν διὰ τὸ δεῖπνον συνιόντων εἰς φιλίαν.

97 ΖΗΤΩΝ ΟΨΟΝ, ΘΟΙΜΑΤΙΟΝ ΑΠΩΛΕΣΑ: Ἐπὶ τῶν ἀτυχεστέρων.

98 ΖΩΗ ΠΙΘΟΥ: Ἐπὶ τῶν ἐπιεικῶς καὶ μετρίως καὶ ἀπραγμόνως E
βιούντων. Ἀπὸ Διογένους, ᾧ πίθος ἡδίστη διαγωγή.

99 ΖΩΟΙΣ ΓΕΝΗΣΗΙ [z]ΚΡΟΜΜΥΟΥ ΜΟΝΟΝ ΛΑΒΩΝ: Ἐπὶ τῶν ἀπὸ μικρᾶς αἰτίας μεγάλην δόξαν καρπουμένων.

p ἡττηθεὶς, Μινδάρῳ] F. ἡττηθέντος Μινδάρου. Mox τὴν addidi ex Apostolio 9, 2.

q Ἐφ' ᾧ] Suidas iisdem verbis, nisi quod initio extremoque parum discrepet. Ἐφ' ὧν in altero est libro. SCHOTT. ἐφ' ὧν b.

r πρὸς χεῖρον] πρόχειρον g.

s ὡς ἐπὶ ὄνου] Sic in Pantiniano cod. erat amplius, quam in Palatino: sed οἴνου reponendum cum sentirem, ita reddidi. Quo etiam e codice sequens est adagium. SCHOTT. ὡς ἐπ' ὄνου om. b. g.

t Εἰς Σκῶλον] Versum habet et Strabo [IX. p. 593=626.] et Eustathius in Hom. Bœotiam, [p. 265.] unde hîc constituimus suis numeris; nisi quod sequiore genere, τραχεῖα ἡ Σκῶλος, diserte scriptum repperi. SCHOTT. om. b. g.

u Ὁμοία] ὅμοιον g.

x ἀπογράφεσθαι] Addit g, Ζεὺς ἄγονος. Ἐπὶ τῶν παράδοξα λεγόντων. Ὁ γὰρ Ζεὺς πολυγονώτατος.

y Ζεῖ χ. ζ. φ.] ζῇ τῇ χύτρᾳ φιλία g. qui mox διὰ τῶν.

z κρομμύου] προλιμύου erat in Diogeniano Palat. Biblioth., in Pan-

100 [a]Ζῶμεν γὰρ ὡς οὐ θέλομεν, ἀλλ' ὡς δυνάμεθα: Ἐπὶ A
τῶν ἀπροαιρέτως ζώντων.

V. 1 [b]Ἢ δεῖ χελώνης κρέας φαγεῖν, ἢ μὴ φαγεῖν: Τῆς χελώνης μὲν ὀλίγα κρέα βρωθέντα στρόφους ποιεῖ· πολλὰ δὲ, καθαίρει.

2 Ἡρακλεία λίθος: Ταύτην ἔνιοι Μαγνῆτιν λέγουσιν. Ἔστι B
δὲ [c]ἑτέρα παραπλησία σιδήρῳ.

3 [d]Ἦσάν ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι: Ἐπὶ τῶν ποτὲ εὖ, ἢ ἑτέρως γεγονότων. Ὁμοία, Ἄμμες ποτ' [e]ἦμες.

4 Ἢ τρὶς ἓξ, ἢ τρεῖς κύβοι: Ἐπὶ τῶν κινδυνευόντων. Τὸ μὲν, τρὶς ἓξ, τὴν παντελῆ νίκην δηλοῖ· τὸ δὲ, τρεῖς κύβοι, τὴν C
ἧτταν. Πάλαι γὰρ τρισὶν ἐχρῶντο [f]πρὸς τὰς παιδιὰς κύβοις.

5 Ἡ [g]Φάνειος θύρα: Ἐπὶ τῶν ἀνοήτως φυλαττόντων. Οὗτος γὰρ ὁ Φάνιος τυφλὸς ἦν. Ὑπανοίγοντος οὖν τοῦ παιδὸς τὴν θύραν, αὐτὸς οὐδὲν ἑώρα.

6 Ἡ Παναγαία Ἄρτεμις: [h]Ἐπὶ τῶν πλανητῶν καὶ ἀγυρτῶν. D
Παρ' ὅσον ἡ θεὸς ἀγείρειν [i]ἢ πλανᾶσθαι λέγεται.

tini κρόμυα. Puto scripsisse Parœmiographum κρομμύου, ut est in Zenobio, Suida, et Apostolio: itaque reposui, ut sensus constet et Iambicus versus. SCHOTT.

[a] Ζῶμεν] Aristotelis dictum putatur; et Terentii Comici est in Andria: *Quoniam id fieri quod vis non potest: id velis, quod potest.* Et in Heautontimor. *Non licet hominem esse sæpe ita ut volt, si res non sinit.* Alibi: *Ut quimus, aiunt.* SCHOTT.

[b] Ἢ δεῖ] In Apostolio calamo exarato legi Ἡδὺ, *jocundum esse*, ut dicat, testudinis vesci carnibus, aut omnino abstinere. SCHOTT.

[c] ἑτέρα] Locus, ut opinor, depravatus, aut ἑταίρα leg. quasi amicus ferro si propius admoveatur; aut e Zenobio legendum ἀργύρῳ pro σιδήρῳ: qui et alium argentum attrahere auctor est, ut magnetem ferrum. Legendus Plinius libro XXIII. cap. 8. et XXXVI. cap. 18. SCHOTT.

[d] Ἦσαν] Zenobio Πάλαι ποτ' ἦσαν; hîc venuste ἦσαν iteratur. Laconicam cantionem Ἄμμες ποτ' ἦμες integre legas in Plutarchi Laconicis, Ang. Politiani Miscellaneis, et in Zenobio. Pro εἶ ἢ ἑτέρως, reposui e Pantiniano cod. εὖ, ἢ ἑτέρως, *bene, aut secus*, hoc est male. SCHOTT. εἶθ' ἑτέρων e Suida reponit Hemsterhus. ad Aristoph. Plut. p. 356.

[e] ἦμες] ἦμεν g.

[f] πρὸς τὰς παιδιὰς] Recte duæ priores voces ex Pantiniano accesserunt, suntque ad sensum necessariæ. Et mox ἀνοήτως ibidem scribitur, pro *frustra, temere, sine fructu.* SCHOTT.

[g] Φάνειος] Φάνιος b. g.

[h] Ἐπὶ] κατὰ b. g. Pro Παναγαία leg. Περγαία e Suida et Apostolii ed. Bas. p. 99. nam Pantiniana IX. 91. cum ms. Bodl. habet παναγαῖα. Vide Junii Adagia I. 69.

[i] ἢ] καὶ b. g.

7 ʽΗΡΑΚΛΕΙ͂ΟΣ ΨΏΡΑ: ʽΗ [k]δυσίατος, [l]ἡ καὶ τῶν ʽΗρακλείων A
λουτρῶν δεομένη πρὸς θεραπείαν. Τῷ γὰρ ʽΗρακλεῖ πολλαχοῦ ἀνῆκε θερμὰ λουτρὰ ἡ Ἀθηνᾶ.

8 ʽΗΡΑΚΛΕΊΑ [m]ΝΌΣΟΣ: ʽΗ ἱερά. Εἰς ταύτην γὰρ περιέπεσεν ʽΗρακλῆς.

9 Ἦτοι τέθνηκεν, ἢ διδάσκει [n]γράμματα: Τῶν εἰς Σικε- B
λίαν στρατευσάντων οἱ μὲν ἐλήφθησαν αἰχμάλωτοι, οἱ δ' ἀπώλοντο. Οἱ οὖν διαφυγόντες ἔλεγον τοῦτο.

10 Ἢ κρίνον, ἢ κολοκύντην: Τὸ τῆς [o]κολοκύντης ἄνθος καλεῖται κρίνον. Ἔταττον οὖν τὸ μὲν κρίνον ἐπὶ τοῦ τεθνηκότος, τὴν δὲ κολοκύντην ἐπὶ τοῦ ὑγιοῦς. C

11 [p]ʽΗ ἀπὸ Σκυθῶν ῥῆσις: Ἐπὶ τῶν οἰμώζειν τινὰ λεγόντων. Τοῦτο γὰρ πρὸς Δαρεῖον τὸν Πέρσην ἀπεκρίναντο οἱ Σκύθαι.

12 [q]Ἠλιθιώτερος τῆς Πραξίλλης: Αὕτη γὰρ ἐρωτωμένη τί κάλλιστον, Ἥλιος, ἔφη, καὶ σῦκα. ʽΟμοία τῇ, Ἀνοητότερος Ἰβύκου, καὶ Κορύβου, καὶ Μελιτίδου. D

13 Ἣ χρὴ τραγῳδεῖν πάντας, ἢ μελαγχολᾶν: Ἐπὶ τῶν μήτε λυπεῖσθαι, μήτε χαίρειν δυναμένων.

14 ʽΗ [r]Συλόσωντος χλαμύς: Ἐπὶ τῶν ἀλαζονευομένων ἐπὶ ἐσθῆτι. Οὗτος γὰρ εἶχε χλαμύδα, ἣν Δαρείῳ ἰδιωτεύοντι δωρησάμενος ἔτυχε τῆς εἰς Σάμον καθόδου. E

[k] Pro δυσίατος voce inusitata, Suidas δυσθεράπευτος posuit. SCHOTT.

[l] ἡ καὶ] ἢ ἡ b. ἢ g.

[m] νόσος] De hoc morbo Zenobius, Suidas, et ad Ovidii Metamorph. interpretes. ʽΗράκλειος autem pro ʽΗρακλεία est in schidis Pantini nostri. SCHOTT.

[n] τὰ γράμματα] Articulo τὰ deleto, trimetrum constitui. SCHOTT. τὰ γράμματα g.

[o] κολοκύντης] κολοκύνθης g.

[p] ʽΗ ἀπὸ Σκυθῶν] Ab Anacharside Scytha quoque natum hoc proverb. putat Laërtius, utiturque frequenter Lucianus, et in Epistolis Ælianus. Neque abludit quod refert Herodotus lib. IV. de muneribus Dario missis a Scythis, ave, mure, rana, et sagitta: quem lege. Οἱ Σκύθαι pro Πέρσαι reposui ex historiæ veritate. SCHOTT. Πέρσαι b. g. qui addunt, εἰ μὴ πτηρ ἦσθα, ᾄδεις ἔχων.

[q] Hîc quoque desiderari puto ὁμοία. Reliqui autem parœmiographi Adonidi filio Praxillæ tribuentes, legunt: Ἀδώνιδος τοῦ Πραξίλλης. SCHOTT. Addidi ὁμοία τῇ post σῦκα cum g.

[r] Συλόσωντος] Historiam narrat Herodotus lib. III. Strabo lib. XIV. Ælianus lib. IV. Variar. et Valerius Max. lib. V. cap. 2. SCHOTT.

15 Ἡ κέρκος τῆι ἀλώπεκι μαρτυρεῖ: Ἐπὶ τῶν δεικνυόντων A ἀπὸ μικρᾶς πράξεως τὸ ἦθος.

16 Ἐκ τοῦ κρασπέδου [s]τὸ πᾶν ὕφασμα: Ὁμοία, Ἐκ γεύματος γινώσκεις· [t]Τὸν Αἰθίοπα ἐκ τῆς ὄψεως· [u]Ἐκ τῶν ὀνύχων τὸν λέοντα· Ἐκ τοῦ καρποῦ τὸ δένδρον.

17 [v]Ἥλιξ ἥλικα τέρπει: Ὁμοία [x]τῇ, Ὡς αἰεὶ τὸν ὅμοιον B ἄγει θεὸς ὡς τὸν ὅμοιον· [y]Ἥλῳ τὸν ἧλον, καὶ πάτταλον ἐξέκρουσας παττάλῳ. Ἀντὶ τοῦ, ἁμαρτήματι τὸ ἁμάρτημα θεραπεύεις.

18 Ἢν μὴ καθάρῃς καὶ ἀλέσῃς, οὐ μὴ φάγῃς: Ἐπὶ τῶν [z]σὺν μόχθῳ τὴν ἀναγκαίαν πορίζομένων τροφήν. Εἶπε δὲ Δήμη- C τρα πρὸς Τριπτόλεμον.

19 [a]Ἡμεῖς δέκα Ῥόδιοι, δέκα νῆες: Ἐπὶ τῶν ἀλαζονευομένων.

20 Θάμυρις μαίνεται: Ἐπὶ τῶν κατὰ σύνεσιν πραττόντων τι, δοκούντων δὲ μαίνεσθαι. Προεγράφη ἡ ἱστορία εἰς τὸν D Ἄμυριν.

21 Θετταλικὰ πτερά: Ἐπὶ τῶν [b]παραχρῆμα ἐσθῆτας ἐνειμένων. Αἱ γὰρ Θετταλικαὶ ἐσθῆτες πτερωταὶ ἦσαν.

22 Θεῶν ἀγορά: Ἐπὶ τῶν χρησίμων καὶ δικαίων.

23 [c]Θυννίζειν: Ἀντὶ τοῦ κεντᾶν. [d]Τριαίναις γὰρ τοὺς θύννους E

[s] τὸ πᾶν] πᾶν om. g.

[t] Τὸν Αἰθίοπα ἐκ τ. ὄ.] τῷ Αἰθίοπι ἡ ὄψις b.

[u] Ἐκ τῶν] ἢ ἐκ τῶν g. qui mox ἢ ἐκ τοῦ.

[v] Vid. Schol. Platon. p. 59.

[x] τῇ, Ὡς ἀεὶ om. b. mox εἰ pro ὡς b. g. ἥλῳ τὸν ἧλον om. g.

[y] Ἥλῳ τὸν ἧλον] v. Lucian. pro Merc. c. 9. Conf. Wyttenbach. ad Plutarch. II. p. 127 F.

[z] σὺν μόχθῳ] συμμόχθῳ g.

[a] Ἡμεῖς δέκα] Natum videatur ex illo Homerico: Ἐκ Ῥόδου ἐννέα νῆας ἄγεν Ῥοδίων ἀγερώχων. Et affine: Ἰδοὺ Ῥόδος, ἰδοὺ πήδημα. Adscribit amplius Apostolius integer: τοῦτο δὲ εἶπε ἡ Δημήτηρ πρὸς Τριπτόλεμον. SCHOTT.

[b] παραχρῆμα] Habet Suidas, Hesychius, Erasmus, et Junius Centur. 1. Verum suspecta mihi hîc vox παραχρῆμα pro extemporaneo habitu. Quid si divisim legas παρὰ χρῆμα de vestium luxu præter facultates? SCHOTT.

[c] Θυννίζειν] Luciani locus in Jove Tragœdo [c. 25.] Ἄπαγε θυννῶδες τὸ ἐνθύμημα, ὦ Πόσειδον, καὶ κομιδῇ παχύ. Qui de pingui et inepto, ut et interpretes, sumere contra Diogeniani mentem, videtur. SCHOTT.

[d] τριαίναις—θύννους] ταῖς τρ.—θύνας g. τὰς θύνας c.

κεντῶσιν. Ἐξ οὗ καὶ Λουκιανὸς, "θυννῶδες τὸ ἐνθύμημα," ἀντὶ A
τοῦ, ἀπότομον καὶ σκληρόν.

24 ΘΎΡΑΖΕ [e] ΚΆΡΕΣ, ΟΥ̓ΚΈΤ' ἈΝΘΕΣΤΉΡΙΑ: Διὰ πλῆθος [f] οἰκετῶν, ὡς ἐν τοῖς Ἀνθεστηρίοις εὐωχουμένων καὶ αὐτῶν.

25 ΘΕῸΣ Ἡ ἈΝΑΊΔΕΙΑ: Ἐπὶ τῶν [g] τῇ ἀναισχυντίᾳ ὠφελουμένων. B

* ΘΡΆΚΕΣ [h] ὍΡΚΙΑ ΟΥ̓Κ ἘΠΊΣΤΑΝΤΑΙ: Ἐπὶ τῶν ἀνόμων.

26 ἸΛΙᾺΣ ΚΑΚῶΝ: Ἐπὶ τῶν μεγάλων κακῶν.

27 [i] Ἵππῳ ΓΗΡΆΣΚΟΝΤΙ ΤᾺ ΜΕΊΟΝΑ ΚΎΚΛ' ἘΠΊΒΑΛΛΕ: Ἐπὶ τῶν διὰ γῆρας δεομένων ῥαστώνης.

28 [k] ἹΠΠΈΑΣ ΕἸΣ ΠΕΔΊΟΝ: Φανερόν. C

29 ἹΕΡᾺ ἌΓΚΥΡΑ: Δήλη ἡ παροιμία.

30 [l] Ἵνα ΔΈΟΣ, ἜΝΘΑ ΚΑῚ ΑἸΔΏΣ:

31 [m] Ἵππος ΜΕ ΦΈΡΕΙ, ΒΑΣΙΛΕΎΣ ΜΕ ΤΡΈΦΕΙ: Κορραῖόν φασιν ὑπὸ Φίλιππον στρατευόμενον ἱππέα, τῆς μητρὸς δεομένης αἰτήσασθαι ἄφεσιν τῆς στρατείας, εἰπεῖν τοῦτο. D

32 ἹΠΠΌΛΥΤΟΝ ΜΙΜΉΣΟΜΑΙ: Ἐπὶ τῶν σωφρονεῖν βουλομένων.

33 ἸΧΘῪΝ ΝΉΧΕΣΘΑΙ ΔΙΔΆΣΚΕΙΣ: Ὁμοία τῇ, ΔΕΛΦῖΝΙ ΚΟΛΥΜΒᾶΝ ΣΥΜΒΟΥΛΕΎΕΙΣ.

34 ΚΑΔΜΕΊΑ ΝΊΚΗ: Ἐπὶ τῶν ἀλυσιτελῶς [n] νικώντων, ὧν ἡ ἱστορία δήλη. E

[e] Κᾶρες] κέρας g.

[f] οἰκετῶν] Suidas amplius habet, οἰκετῶν Καρικῶν. SCHOTT.

[g] τῇ ἀναισχυντίᾳ] τὴν ἀναισχυντίαν g.

[h] ὅρκια] ὄργια b. c. g.

[i] Ἵππῳ] *Equo senescenti minora cicela admove.* Sic Erasmus, versum tamen esse heroicum subodoratus: fateturque κείκελον alibi non lectum, præterquam in Zenobio, hoc adagio; viderique simile esse τρισιππίῳ, quam explicat vocem etiam Hesychius, idemque noster Zenobius. SCHOTT.

[k] Vid. Plato Theætet. p. 183 D. Plutarch. II. p. 822 F. Lucian. Pisc. c. 9. Schol. L. Il. ε'. 222.

[l] Ἵνα δέος] Homericum apparet Iliad. ό. ἴσχε γὰρ αἰδὼς καὶ δέος. SCHOTT. Vid. Schol. Plat. p. 4. Schol. Soph. Aj. 1074. Schol. Ven. Il. ω'. 435. Heynius ad Il. ό. 657.

[m] Ἵππος] Notum illud Horatii in Epist. *Splendidius multo est, equus ut me portet, alat Rex.* Ibi Acronem vide, et recentiores interpretes. SCHOTT. Mox Φιλίππου c.

[n] νικώντων] Etsi in utroque βιούντων [sic b. g.] scriptum erat, reposui tamen ex historiæ fide, et Suida, νικώντων. Et Apostol. ἡ ἐπὶ κακῷ νίκη. SCHOTT.

35 ΚΥΡΝΊΑ ΓΗ͂: Ἐπὶ τῶν χωρῶν τῶν λῃστὰς ἐχουσῶν. Τοιαύτη A
γὰρ ἡ Κύρνος [o]πρώην.

36 [p]ΚΟΡΧΟΡΟΣ ἘΝ ΛΑΧΆΝΟΙΣ: Ἐπὶ τῶν εὐτελῶν μὲν ὄντων, μεγάλοις δὲ παραβαλλόντων ἑαυτούς· εἶδος γάρ ἐστι βοτάνης ὁ κόρχορος εὐτελοῦς.

37 ΚΥΚΝΕΙΟΝ ἊΙΣΜΑ: Ἐπὶ τῶν ἐγγὺς θανάτου ὄντων, καὶ τὰ τε- B
λευταῖα φθεγγομένων. Οἱ κύκνοι γὰρ ἀποθνήσκοντες ᾄδουσι.

38 [q]ΚΟΙΝῸΣ ἙΡΜΗ͂Σ: Οἷον, Κοινὸν τὸ εὕρημα. Κλεπτίστατος ὢν ὁ Ἑρμῆς, κατέδειξε κοινὰ εἶναι τὰ φώρια.

39 ΚΑΚΟΥ͂ ΚΌΡΑΚΟΣ ΚΑΚῸΝ ὨΙ῀ΟΝ ἜΦΥ: Ἐπὶ τῶν ἐκ κακῶν γονέων
ὄντων. C

40 ΚΑΝΘΆΡΟΥ ΣΟΦΏΤΕΡΟΣ: Ἐπὶ τῶν πονηρῶν. Κάνθαρος γάρ τις πονηρὸς ἐγένετο.

41 [r]ΚΙΝΉΣΩ ΤῸΝ ἈΦ' ἹΕΡΑ͂Σ: Ἐπὶ τῶν τὰ ἔσχατα κινδυνευόντων.

42 [s]ΚΈΡΔΟΣ ΑἸΣΧΎΝΗΣ ἊΜΕΙΝΟΝ: Ἐπὶ τῶν διά τι κέρδος αἰ- D
σχύνην [t]προσπορίζόντων ἑαυτοῖς, καὶ μὴ ἐπιστρεφομένων ταύτης.

43 ΚΩΦΌΤΕΡΟΣ ΤΟΥ͂ ΤΟΡΩΝΑΊΩΝ ΛΙΜΈΝΟΣ: Λιμὴν τις ἦν στενὰς ἔχων τὰς [u]εἰσβάσεις.

44 [v]ΚΑΣΣΙΩΤΙΚῸΝ ἊΜΜΑ: Ἐπὶ τῶν σκολιῶν τοὺς τρόπους. Οὗ- E
τοι γὰρ ἅμματά τινα δύσλυτα ἐπιτεχνάζονται.

45 ΚΑΘ' ἙΑΥΤΟΥ͂ ΒΕΛΛΕΡΟΦΌΝΤΗΣ: Ἐπὶ τῶν καθ' ἑαυτῶν τι ποιούντων. Ἡ δὲ ἱστορία δήλη.

o πρώην] Addit g. ἄλλη.

p Κόρχορος] Herbæ et proverbii meminit quoque Theophrastus lib. VII. cap. 7. De plantis. Vide Hesychium. SCHOTT. Κόρκορος bis c. g. Post h. art. addit c. Καλαμαράδικος γάδαρος ἐπὶ τῶν μεγάλων· τοιοῦτοι γὰρ οἱ ἐκεῖ ὄνοι. v. Apostol. XI. 15.

q Κοινὸς] Vid. Lucian. Navig. 12.

r Κινήσω] Ortum hujus adagii explicat Julius Pollux lib. IX. [s. 98.] Onomastici. SCHOTT. Vid. Schol. Platon. p. 227. 230. Plutarch. II. p. 783 B. 975 A. Eustath. Il. ζ. p. 633, 59.

s Κέρδος] Affine huic illud Vespasiani Imp. *Lucri bonus odor ex re qualibet.* Vide quæ ad Zenobium Cent. IV. [67.] notabamus. SCHOTT.

t προσποριζόντων]ποριζόντων b. c. g.

u ἐκβάσεις c.

v Κασσιωτικὸν] Est et apud Suidam. Stephanus de Urbibus aliter effert Κασσιωτικὰ ἱμάτια, nisi forte ἱμάντια scribendum sit: quod Erasm. vidit, et admonuit. SCHOTT.

46 [x]Κομπὰς Μάξιμος: Ἐπὶ τῶν ὑπὲρ τὸ δέον φρονεῖν νοούντων. A Οὗτος γὰρ ὁ Μάξιμος ἀλαζὼν ἐγένετο.

47 [y]Οὐχ ἅμμα λύεις: Ἐπὶ τῶν δυσλύτων. Ἀπὸ τῆς ἁμάξης ἡ ἱστορία.

48 [z]Καρικὸς τράγος: Ἐπὶ τῶν εὐτελῶν.

49 [a]Κατ' αἶγας ἀγρίας: Ὁμοία τῇ, "Ἐς κόρακας." B

50 Κερκυραία μάστιξ: Ἐπὶ τῶν μεγάλων μαστίγων. Τοιαύτας γὰρ εἶχον.

51 [b]Κερκωπίζειν: Δολιεύεσθαι. Ἐπὶ τῶν πανούργων. Ἀπό τινων ἀνδρῶν Κερκώπων λεγομένων, ὡς προείρηται.

52 [c]Κέσκων πόλις: Ἐπὶ τῶν ἀνοήτων. Οἱ γὰρ ἐν ταύτῃ C κατοικοῦντες τῇ πόλει, τοιοῦτοι.

53 Κεστρεὺς νηστεύει: Ἐπὶ τῶν λαιμάργων, ὑποκρινομένων δὲ νηστεύειν. Ἄπληστον γὰρ τὸ ζῶον.

54 Κιλίκιοι [d]τράγοι: Οἱ δασεῖς. Ὅθεν καὶ τὰ ἐκ τριχῶν Κιλίκια λέγονται. D

55 Κινδυνώδης ἡ ἐν πρώρᾳ [e]σελίς: Οἱ γὰρ πολέμιοι πρῶτον τὴν πρώραν κατέχουσι.

22 Τίκτει [m]κόρος ὕβριν ὅταν κακῷ ἀνδρὶ παρείη: Ἐπὶ τῶν ταῖς εὐτυχίαις ἐπαιρομένων.

23 Ταντάλου τάλαντον: Διαβόητος ἐπὶ πλούτῳ.

24 [n]Τερμέρεια κακά: Τὰ μεγάλα.

25 Τυφλότερος [o]ἀσπάλακος: Φασὶν αὐτὸν τυφλωθῆναι, διὰ τὸ B
φθείρειν τὴν γῆν.

26 [p]Τυφλῶν ὀνείρων: Ἤτοι τῶν ἀπατηλῶν.

27 Τὸ Πάρνου σκαφίδιον: Ἐπὶ τῶν μικρὰ ζητούντων. Πάρνος γάρ τις τὴν σκάφην ἀπολέσας συνεχῶς ἠνώχλει τῷ δήμῳ.

28 Τὸ [q]Ἐπιμενίδειον δέρμα: Ἐπὶ τῶν ἀποθέτων. Κατέκειτο C
γὰρ παρὰ τῇ Λακεδαίμονι τοῦτο.

29 Τὸ Φρυνίχου πάλαισμα: Κατὰ τῶν πανούργως σοφιζομένων. Προδότης γὰρ γέγονε τῶν Λακεδαιμονίων.

30 [r]Τὸ ἀρνίον σοι λελάληκεν:

31 [s]Τὸ Μηλιακὸν πλοῖον: Ἐπὶ τῶν ἄγαν ῥεόντων πλοίων. D

Matrem autem Tragici olera vendidisse auctor Valerius Max. lib. III. cap. 4. Agellius lib. XV. cap. 20. ex Theopompo, Turnebus lib. XV. c. 3. Advers. et Io. Brodæus lib. IV. Miscellan. cap. 25. ex Aristophane: etsi apud Moschopulum Philochorus nobilem asserat fuisse. SCHOTT.

[l] γενομένων] In Pantiniano exaratum λεγομένων, pro γενομένων. Recte utrumque. SCHOTT. λεγομένων b. c. g.

[m] κόρη] κόρος b. Theognis 153. τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται. Addidi ὕβριν cum c. Tum dedi κακῷ pro κακῶς.

[n] Τερμέρεια] Suidas proverbii originem exponit. SCHOTT.

[o] ἀσπάλακος] Suidas e Stesichoro fruges corrumpere ait, nimirum radices in terra lædendo. SCHOTT.

[p] Erasmus legit τυφλὸν ὄνειρον, numero singulari. SCHOTT.

[q] Ἐπιμελίδειον] Ἐπιμενίδειον, ab Epimenide Cretensi in hujus vita Suidas diserte proverbium collocat, quem descripsit Apostolius. Juvenalis Satyra VII. v. 120. *Afrorum Epimenia bulbi.* De *Epimenidio* scillæ ac bulbi genere Theophrastus lib. VII. Histor. Plantarum c. 11. et C. Plinius lib. XIX. Nat. Hist. cap. 5. et de *Epimenidis somnio* idem lib. VII. cap. 52. dormiisse annis LVII. Petr. Victorius libro XXIV. cap. 1. Varro et Plut. annos tantum L. obdormiisse tradunt. Plura de ejus ætate in Vaticanis proverbiorum additamentis, ubi erat Ἐπιμενείδιον δέρμα. SCHOTT. Ἐπιμελίδιον g.

[r] Hoc et sequens adagium e Pantini cod. desumtum. Apostolius vero explicans, in Ægina ait usum agnum humana voce: prædixisse etiam futura. SCHOTT. Desunt g.

[s] Erasmus hîc turbat vitioso, ni fallor, usus Apostolii exemplari: qui in Hervagiana quidem

Κατηράσαντο γὰρ Λακεδαιμόνιοι μηδέποτε στεγνὰ τὰ πλοῖα Μη- A
λίων γενέσθαι· παραβάται γάρ.

32 [t]Τὸ Δωδωναῖον χαλκεῖον: Ἐπὶ τῶν πολλὰ λαλούντων.

33 Τὸν Ὕλαν [u]κράζεις: Ἐπὶ τῶν μάτην πονούντων καὶ βοώντων. Καὶ γὰρ Ἡρακλῆς ἀποβὰς τῆς Ἀργοῦς, καὶ ζητήσας τὸν Ὕλαν, οὐχ εὗρε. B

34 Τρυγόνος λαλίστερος: Ἐπειδὴ αἱ τρυγόνες οὐ μόνον τῷ στόματι, ἀλλὰ καὶ τοῖς ὀπισθίοις μέλεσιν ἠχοῦσιν.

35 Ταῦτά σοι καὶ Πύθια καὶ [x]Δήλια: Ἐπὶ τῶν τελευταῖα πονούντων.

36 [y]Τὸν Κολοφῶνα ἐπέθηκεν: Ἐπὶ τῆς βεβαίας ψήφου. C

37 Τιθωνοῦ γῆρας: Ἐπὶ τῶν πολυχρονίων.

38 Τὰ πρῶτ' ἀρίστους [z]παῖδας Αἴγινα τρέφει: Ἐπὶ τῶν τὰ πρῶτα καὶ ἐν ἀρχῇ κοσμίων, μετὰ δὲ ταῦτα ἀσελγαινόντων.

39 [a]Τὰς ἐν ᾅδου τριακάδας: Ἐν ᾅδου διὰ τὴν Ἑκάτην. Καὶ γὰρ Ἀθηνᾶ, καὶ Ἄρτεμις, καὶ Ἑκάτη ἓν εἶναι δοκοῦσιν. D

40 Τὸ Πάσητος ἡμιωβόλιον: Οὗτος μαλακὸς ἦν ὁ Πάσης, ἐπὶ μαγείᾳ διενηνοχώς. Τὸ γὰρ ἡμιώβολον διδοὺς, παρ' [b]ἑαυτῷ πάλιν εὕρισκε.

41 Τὸ βασιλικὸν βοΐδιον: Ἐπὶ [c]Πτολεμαίου τοῦ νέου βοῦς ἔτεκεν ἐξ βοΐδια. Λέγεται οὖν ἐπὶ τῶν πολυτόκων. E

42 Τὶς ἐν [d]Κύδωνος: Ἐπὶ τῶν φιλοφρόνως δεχομένων τοὺς [e]ξένους.

43 [f]Τὸ ἐν τῇ καρδίᾳ τοῦ νήφοντος, ἐπὶ τῆς γλώσσης τοῦ μεθύοντος: Ἐπὶ τῶν ἐν μέθῃ τὴν ἀλήθειαν λεγόντων.

editione qua utor, Aristotelem ait proverb. explicasse, Ἐπὶ τῶν εἰσρεόντων καὶ εἰσιόντων. Cetera Suidas in Μηλιακὸν πλοῖον. SCHOTT.

[t] Dodonæi æris mentio in Julio Polluce, et Cælio Rodig. lib. XIX. cap. 11. Ausonius: *Nec Dodonæi cessit tinnitus aheni.* SCHOTT.

[u] Κραυγάζεις est in Pantini membranis, pro κράζεις. SCHOTT.

[x] Δήλια] δόλια b. g.

[y] Τὸν Κολοφῶνα] Vid. Heindorf. ad Platon. Theæt. p. 319.

[z] παῖδας addidi cum b. Vid. Eustath. Od. λ'. p. 1695, 53. ubi ἐκτρέφει.

[a] Suidas explanat de iis qui res abditas scrutantur, ejusque interpres Germanus *dies trigesimos* vertit. SCHOTT.

[b] ἑαυτῷ] ἑαυτοῦ g.

[c] Πτολεμαίου] Πτολέμου g.

[d] Κύδωνος] Κώδωνος g.

[e] ξένους] ἄλλους g.

[f] Τὸ ἐν τῇ κ.] Vide proverbium,

44 Τὸ ΠΈΛΑΓΟΣ ΠΡΌΤΕΡΟΝ ΟἼΣΕΙ ἌΜΠΕΛΟΝ: Ἐπὶ τῶν ἀδυνάτων. A

45 [g]ΤὸΝ ΚΑΠΝὸΝ ΦΕΎΓΩΝ, ΕἸΣ ΤῸ ΠΥ͂Ρ ἘΝΈΠΕΣΟΝ: Ἐπὶ τῶν τὰ μικρὰ τῶν δεινῶν φευγόντων, καὶ εἰς μείζονα δεινὰ ἐμπιπτόντων.

46 [h]ΤΊΣ ΠΑΤΈΡ' ΑἸΝΉΣΕΙ', ΕἸ ΜῊ ΚΑΚΟΔΑΊΜΟΝΑ ΤΈΚΝΑ: Ἐπὶ B τῶν προγονικὰ ἀνδραγαθήματα ἀπορίᾳ ἰδίᾳ προφερόντων. Ὁμοία τῇ, ΚΑΤᾺ ΣΑΥΤῸΝ ἜΛΑΥΝΕ. Καὶ, ἭΝ ἜΛΑΧΕΣ ΣΠΆΡΤΑΝ ΚΌΣΜΕΙ. Παραινεῖ γὰρ μὴ τοῖς ὑπὲρ ἀξίαν ἐπιπηδᾶν.

47 ΤΙΤΑ͂ΝΑΣ ΚΑΛΕΙ͂Ν: Ἐπὶ τῶν κεκραγότων τινὰς εἰς βοήθειαν.

48 [i]ΤὸΝ ΞΎΟΝΤΑ Δ' ἈΝΤΙΞΎΕΙΝ: Ἐπὶ τῶν διὰ χάριν χάριτας C ποιούντων.

49 [j]ΤΟΥ͂ΤΟ ΤῸ ὙΠΌΔΗΜΑ ἜΡΡΑΨΕ ΜῈΝ ἹΣΤΙΑΙ͂ΟΣ, [k]ὙΠΕΔΉΣΑΤΟ ΔῈ ἈΡΙΣΤΑΓΌΡΑΣ: Ἀρταφέρνου τοῦτο τοῦ Περσῶν βασιλέως. Καὶ γὰρ Ἱστιαῖον οὗτος ᾐτιᾶτο τῆς Ἰώνων ἀποστασίας, ὁ δὲ ἠρνεῖτο, καὶ εἰς Ἀρισταγόραν μετέφερε τὴν αἰτίαν· οὗ τὸ δό- D λιον ἀνακαλύπτων ὁ σατράπης, εἰς αὐτὸν τοῦτο εἶπε. Λέγεται δὲ ἐπὶ τῶν τὰ ἑαυτῶν ἐγκλήματα ἄλλοις πανούργως προσαπτόντων.

50 [l]ΤἊΛΛΑ ΦΙΛΏΜΕΘΑ, ΤἊΛΛΑ ΜῈΝ ἈΓΑΠΏΜΕΘΑ: Κατὰ τοῦτο, Οὔ συμφημὶ, οὐδὲ συναινῶ.

51 ΤΈΛΟΣ ὍΡΑ [m]ΒΊΟΥ: Τοῦτο τὸ ἀπόφθεγμα Σόλων εἶπε Κροίσῳ. E

In vino veritas, apud Erasmum. SCHOTT.

[g] Τὸν καπνὸν] Vid. Lucian. Necyom. c. 4. T. I. p. 459. Simplicius in Epictet. p. 168.

[h] Τίς πατέρ'] Vid. Plutarch. Vit. Arat. init. Schol. Homer. Il. δ'. 404.

[i] Τὸν ξύοντα] Suidas ab asinis invicem scalpentibus ductum ait. Utitur Aristides in defensione IV. Oratorum. SCHOTT. Vid. Schol. Aristid. p. 524. et 672. T. III. ed. Dind. Gregor. Naz. Ep. LXI. p. 817 D. Eustath. Il. λ'. p. 863, 4.

[j] Τοῦτο τὸ ὑπόδημα] Herodotus aliter paullo lib. V. et VI. [1.] historiam commemorat: a quo Io. Tzetzes Chil. III. Hist. 96. et Chil. IX. Hist. 262, et Apostolius hauserunt: hic cordate; ille ut delirans senex, et politicis versibus. SCHOTT.

[k] ὑπεδύσατο] ὑπεδήσατο b.

[l] Τἄλλα] Deest art. g.

[m] βίου] Pantinianus cod. μακροβίου hîc præfert. Solonis hoc dictum Ausonius Gallus in laude VII. Sapientum sic explicat senariis: *Spectandum dico terminum vitæ prius, Tum judicandum si manet felicitas. Dictum moleste Crœsus accepit*, &c. *At pæne sero Crœsus ingenti sono, O vere vates, inquit: o Solon, Solon,*

52 Τί ΠΡΟΣ ΤΟΝ ἙΡΜΗ͂Ν: Ἀντὶ τοῦ, πρὸς τὸν λόγον. A

53 ΤΟΝ ΜΙΔΑ ΠΛΟΥ͂ΤΟΝ, ΚΑῚ ΚΡΟΙ͂ΣΟΥ, ΚΑῚ [n]ΚΥΝΗ͂ΡΟΥ: Ἐν ὑπερβολῇ ταῦτα.

54 Τὸ ΟΥ̓ ΦΙΛΟΞΕΝΟΥ: Ἐπὶ τῶν πολλάκις ἀρνουμένων· [o]Φιλόξενος γὰρ Διονύσιον καλῶν, οὐδὲν ἄλλο ἀπεκρίνατο οὗτος, εἰ μὴ οὐ οὐ. B

55 ΤΩ͂Ι ΘΡΙΩ͂Ι ΤΗ͂Ν ἘΓΧΕΛΥΝ: Θρίον, τὸ φύλλον τῆς συκῆς· τραχὺ γάρ ἐστιν, αἱ δὲ ἐγχέλυς ὀλισθηραί· πρὸς τὸ λαμβάνειν οὖν αὐτὰς κατάλληλον δοκεῖ.

56 ΤΗ͂Ν ΘΥ΄ΡΑΝ ἜΧΕΙ ΤΕΤΡΙΜΜΕΝΗΝ, ὭΣΠΕΡ ΑἹ ΠΟΙ΄ΜΝΑΙ: Ἐπὶ τοῦ ἀπανθρώπου καὶ ἀπροσπελάστου. C

57 [p]ΤΟΥ͂ ΣΕΛΙ΄ΝΟΥ ΔΕΙ͂ΤΑΙ: Ἐπὶ τῶν ἐπισφαλῶς νοσούντων. Καὶ γὰρ εἰώθαμεν στεφανοῦν σελίνοις τὰ μνήματα.

58 [q]ΤΕΝΕ΄ΔΙΟΣ ΠΕ΄ΛΕΚΥΣ: Ἐπὶ τῶν πικρῶς ἢ μᾶλλον συντόμως ἀποκοπτόντων τὰς ζητήσεις, ἢ καὶ τἄλλα πράγματα. Ἢ ἐπὶ τῶν ὠμῶν νόμων. Νόμον γάρ τις ἔταξε παρ' αὐτοῖς, τὸν καταλαβόντα μοιχὸν πελέκει κόπτειν. D

59 ὙΠῸ ΠΑΝΤῚ ΛΙ΄ΘΩΙ ΣΚΟ΄ΡΠΙΟΣ ΕὟΔΕΙ: Ἐπὶ τῶν κακοήθων λέγεται.

Clamore magno ter Solonem nuncupat. Non absimilem historiam de Simonide refert Lilius Giraldus Dialogo IX. Historiæ Poëtarum: Simonides rogatus in convivio Pausaniæ, dixit: Μέμνησο, ἄνθρωπος ὤν. Quod cum in præsentia Pausanias sprevisset, post in Chalciœco fame cum necaretur, ter exclamavit: *O Cæe hospes, magni fuit momenti sermo tuus.* SCHOTT.

[n] Κυνήρου] Leg. Κινύρου.

[o] Φιλόξενος] Sic emendo, Φιλόξενον γὰρ Διονύσιος καλῶν, ex historia, et Suida in Φιλοξένου γραμμάτιον: etsi depravate ibidem α pro ου excusum videam. SCHOTT.

[p] Τοῦ σελίνου] Coronari et mortuos solitos apio notum in vulgus, docetque Io. Kirchmannus lib. I. cap. 11. de Funerib. Rom. Sepulcra quoque apio coronata fuisse observavit idem lib. IV. cap. 3. et ante eum Lævinus Torrentius V. C. ad Odam vii. lib. II. Horatii. In Palat. στέμματα erat. Suidas, et quem citat, ipse Plutar. μνήματα rectius habent: explicatque originem idem Plutarchus in Timoleonte et in Sympos. lib. V. Quæst. 3. Vide et Suidam in Σελίνου δεῖται ὁ νοσῶν. SCHOTT.

[q] Τενέδιος] Suidas regem quemdam tulisse legem hanc ait, ut utrique adultero caput amputaretur. Aliter tamen idem in adagio Τενέδιος ἄνθρωπος. Locum vide, et Erasm. in Chiliadibus. SCHOTT.

60 ὝΣ ἘΚΏΜΑΣΕΝ: Ἐπὶ τῶν ἀσέμνως τι ποιούντων, καὶ παρ' ἀξίαν ἐπαιρομένων ἐπί τισιν εὐπραγίαις. A

61 [r]ὝΔΡΑΝ ΤΈΜΝΕΙΣ: Ἐπὶ τῶν ἀδυνάτων.

62 ὙΠῈΡ ΤᾺ ΚΑΛΛΙΚΡΆΤΟΥΣ: Πλούσιος οὗτος ἦν [s]ἐν Κορίνθῳ. Εἴποτε οὖν ἐθαύμαζόν τινα ἐπὶ πλούτῳ, τοῦτο ἔλεγον.

63 [t]ὙΠΕΡΒΕΡΕΤΑῖΟΣ: Ἐπὶ τῶν ὑπερχρονίων· ὁ γὰρ τελευταῖος μήν ἐστιν οὗτος. B

64 [u]ὝΣ ὈΡΊΝΕΙ: Ἐπὶ τῶν βιαίων λέγεται καὶ ἐριστικῶν.

65 [x]ΦΑΛΆΡΙΔΟΣ ἈΡΧΑΊ: Ἐπὶ τῶν ὠμῶς τῇ ἐξουσίᾳ χρωμένων.

66 ΦΏΚΟΥ [y]ἜΡΑΝΟΣ: Ἐπὶ τῶν εὐωχίας συνταττόντων ἐπὶ τῷ ἑαυτῶν κακῷ. Φῶκος γάρ τις θυγατέρα ἔχων ἐπίγαμον, ἀνεβάλλετο τὸν γάμον· ἐφ' ᾧ ὀργισθέντες οἱ μνηστῆρες, ἀπέκτειναν αὐτόν. C

67 ΦΟΙΝΊΚΩΝ ΣΥΝΘῆΚΑΙ: Ἐπὶ τῶν πανούργων.

68 [z]ΧΆΡΩΝΟΣ ΘΎΡΑ: Δι' ἧς οἱ καταδικοι ἐπὶ τὸ θανεῖν ἐξήρχοντο. D

69 ΧΘΌΝΙΑ ΛΟΥΤΡΆ: Τὰ τῶν νεκρῶν.

70 ΧΑῖΡΕ ΦΊΛΟΝ ΦῶΣ: Γραῦς ἐθέλουσα ἀκολασταίνειν γυμνὴ, ἵνα μὴ τὴν [a]ῥακίωσιν τοῦ σώματος ἐλέγχῃ, τοῦτο εἶπε.

r Ὕδραν] Zenobius ac Suidas ab hydra Lernæa derivant: quos adi. SCHOTT.

s ἐν Κορίνθῳ] Diserte in Suida Καρύστῳ. Sed nihil muto: notæ enim Corinthiæ opes. SCHOTT.

t Ὑπερβερεταῖος] Eadem Zenobius ac Suidas, sed Atheniensium mensem (alii Macedonum) extremo anni collocant: quo de, qui de temporibus, annis, ac mensibus scripsere Theod. Gaza, Greg. Gyraldus, Hadrianus Junius, et Jos. Scaliger, præstantissima suæ quæque ætatis lumina. SCHOTT.

u Ὗς] Plenius Apostolius XV. 83. Πάλιν ἡ ὗς παρορίνει: Ἐπὶ τῶν παρακινούντων τινὰ εἰπεῖν καὶ ἄκοντα, ἃ οὐ βούλεται. Ἀλκαίου ἡ παροιμία. Simplicius in Aristot. de Cœlo fol. 82 b. in ms. Nov. Coll. ἐπειδὴ δὲ πάλιν ὗς παρορίνει κατὰ τὸν μελοποιὸν Ἀλκαῖον.

x Φαλάριδος] Sic *Manliana* et *Postumiana imperia* Romæ in proverbium cessere, teste Agellio lib. I. Noct. Atticarum cap. 13. SCHOTT.

y ἔρανος] *Convivium* verti in Zenobio, hîc *Collectam*. Zenobius enim ac Suidas hoc amplius stipem coëgisse ac symbolam a procis referunt. SCHOTT.

z Χάρωνος] Χαρώνιος vel Χαρώνειος alii.

a ῥακίωσιν] ῥάκωσιν Zenob. VI. 42. v. Hemsterhus. ad Aristoph. Plut. p. 395.

71 [b]Ψεκάς: Ἡ δρόσος. Οὕτως ἐκαλεῖτο Ἀντίμαχος πτυελώδης A ὤν. Οὗτος δὲ μελῶν ἦν ποιητής· οὕτω δὲ ἐκαλεῖτο, διότι προσέρραινε τοῖς ὁμιλοῦσι διαλεγόμενος. Ἐδόκει δὲ ὁ Ἀντίμαχος ψήφισμα πεποιηκέναι, [c]ὅτι μὴ δεῖ κωμῳδεῖν ἐξ ὀνόματος.

72 Ὧι τὸ ἱερὸν πῦρ οὐκ ἔστι φυσῆσαι ὡς μὴ καθαρεύοντι:

73 Ὥσπερ ἥρως ἐν ἀσπίδι ξενίσαι βούλομαι: [d]Λέγεται ἐφ' B ὧν οἳ τοῖς ἑαυτῶν ἔργοις ἢ τέχνῃ χρωμένους τοὺς φίλους εὐεργετοῦσι· παρ' ὅσον οἱ ἥρωες τὸ παλαιὸν ἐν ὅπλοις ὄντες ἐξενίζοντο.

74 [e]Ὠσὶν ἑστῶσιν: Ἐπὶ τῶν πρὸς τὸ ἀκοῦσαι τὰ ὦτα εὐτρεπιζομένων.

75 [f]Ὤδινεν ὄρος, εἶτα μῦν ἀπέτεκεν: Ὅταν ἐλπίσας τὶς C μεγάλα μικροῖς ἐντύχῃ.

76 Ὥσπερ παῖδα φιλοῦσιν ἐρασταί: Ἐπὶ τῶν ἐρωτικῶς διακειμένων.

[b] Ψεκὰς] Disjecta hæc veluti Absyrti membra collegimus e Suida, unde Apostolius [XXI. 4.] sua hausit. Eademque diserte Aristophanis Acharnensium enarrator [1149.] quæ brevitatis gratia non describo: quæque in Nebulas attulit [1018.] de variis Antimachis, e quo et Lilius Giraldus Dialogo III. Histor. Poëtarum. Idemque decretum olim Athenis Atticis de vetere Comœdia Alcibiades tulisse fertur, ut idem ait extremo Dialogo sexto. Et Romani in XII. Tabulas retulere, quod famosum carmen scribere nefas, ut in libris de Rep. M. Tullius commemorat. SCHOTT.

[c] ὅτι μὴ δεῖ] Hæc correximus præeunte Valesio ad notas Maussaci in Harpocrat. p. 295=118. Vulgo temere sic confusa: ὅτι τὸ ἱερὸν πῦρ οὐκ ἔξεστι φυσῆσαι· καὶ ὅτι μὴ δεῖ κωμωδεῖν ἐ. ὀ. ὡ. μ. κ.

[d] Λέγεται—εὐεργετοῦσι] Apostolius XXI. 20. Λέγεται ἐπὶ τῶν τοὺς φίλους τοῖς ἑαυτῶν ἔργοις εὐεργετούντων.

[e] Ὠσὶν] Virgilius I. Æneid. *arrectisque auribus adstant.* SCHOTT.

[f] Ὤδινεν] Horatius in Arte Poët. *Parturiunt montes, nascetur ridiculus mus.* Natum ex apologo, teste Porphyrione. Plura Erasmus. SCHOTT.

ΖΗΝΟΒΙΟΥ ΕΠΙΤΟΜΗ

ΤΩΝ

ΤΑΡΡΑΙΟΥ ΚΑΙ ΔΙΔΥΜΟΥ ΠΑΡΟΙΜΙΩΝ

ΣΥΝΤΕΘΕΙΣΩΝ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ.

1 Ἀβυδηνὸν [a]ἐπιφόρημα: Ἐπὶ τῶν ἀηδῶν τάττεται ἡ παροιμία. Μέμνηται δὲ αὐτῆς Εὔδοξος ἐν Ὑποβολιμαίῳ. Φασὶ δὲ ὅτι τοῖς Ἀβυδηνοῖς ἔθος ἦν μετὰ τὸ δεῖπνον καὶ τὰς σπονδὰς προσάγειν τοὺς παῖδας μετὰ τῶν τιτθῶν τοῖς εὐωχουμένοις· κεκραγότων δὲ τῶν παίδων καὶ θορύβου γινομένου διὰ τὰς τίτθας, ἀηδίαν εἶναι πολλὴν τοῖς δαιτυμόσιν. Εἴρηται δὲ ἡ παροιμία καὶ ἀπὸ τοῦ ὑπ' αὐτῶν συκοφαντεῖσθαι τοὺς ξένους. Ἔνθεν Ἀριστοφάνης τὸν συκοφάντην [b]Ἀβυδηνοκώμην εἶπεν. A B

2 [c]Ἀγαθώνιος αὔλησις: Ἡ μαλακὴ, καὶ μήτε πικρὰ, μήτε

[a] ἐπιφόρημα] Sic Athenæus libro XIV. [p. 641 A.] emendante Paulo Leopardo Belga, homine doctissimo, libro XVI. Emendat. c. 3. Stephanus περὶ πόλεων, Diogenianus, Suidas, et Apostolius, pro bellariis aut irruptione, etsi *auctarium* vertit Suidæ interpres, Hesychius ἐπιφώνημα pro acclamatione. Mihi *illatio* magis placuit: quod *inferri in mensam* dici solita fercula, ut et in sepulcrum suum alienumve, ut est in Pauli I. C. sententiis, et Ulpian. l. X. De relig. et sumpt. fun. et l. III. De sep. violandis. Erasmus e Suida de coronis et unguentis addit. Quæ vero ex Aristoph. Zenobius, ex iis aliud proverbium Apostolius concinnat, quasi *Abydenus* de sycophanta dicatur, cujus rei et noster meminit. Suidæ vero Ἄβυδος πόλις ἢ Ἀβυδηνῶν φλυαρία de nugis atque calumniatoribus. SCHOTT.

[b] Ἀβυδηνοκώμην] Ἀβυδηνόκομον B. Ἀβυδοκόμην Dindorfius ad Aristoph. Fr. 568. ex Hesychio et Bekker. Anecd. p. 215, 6. 322, 31.

[c] Ἀγαθώνιος] Amplius hîc antiquiss. codex Vaticanus præfert: ἡ μαλακὴ καὶ ἐκλελυμένα, ἢ ἡ μήτε χαλαρὰ, μήτε πικρά. Itemque Mich. Apostolius typis quidem evulgatus. Diogenianus pro μαλακὴ καὶ χαλαρὰ vitiose habet μαλτακὴ καὶ χλιαρά. Agathon vero aulœdus ille est, quem in Thesmophoriis

χαλαρὰ, ἀλλ' εὔκρατος καὶ ἡδίστη. Εἴρηται δὲ ἀπὸ Ἀγάθωνος αὐλητοῦ, ὃς ἐπὶ μαλακίᾳ ἐκωμῳδεῖτο. A

3 ἈΓΑΘᾺ [d]ΚΙΛΊΚΩΝ: Λείπει τὸ ἔχει. Προδότης γὰρ γέγονεν οὗτος ὁ Κιλικίων, Μιλήσιος τὸ γένος, ὃς προδοὺς Μίλητον εὐπόρησεν.

4 [e]ἉΒΡΩΝΟΣ ΒΊΟΣ: Ἐπὶ τῶν πολυτελῶν εἴρηται ἡ παροιμία. B Ἅβρων γάρ τις ἐγένετο πλούσιος καὶ ἁβροδίαιτος. Δύναται δὲ καὶ ἀπὸ τοῦ ἁβροῦ τὸ ὄνομα γεγονέναι.

5 ἈΓΟΡᾺ ΚΕΡΚΏΠΩΝ: Ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων λέγεται. Κέρκωπες γὰρ ἀπατεῶνες [f]ἐγένοντό τινες, ἐξαπατῆσαι τὸν Δία βουλόμενοι. C

6 [g]ἈΓΑΜΕΜΝΌΝΕΙΑ ΦΡΈΑΤΑ: Ἐπὶ τῶν μεγάλων ἔργων. Ἱστοροῦσι γὰρ τὸν Ἀγαμέμνονα περὶ τὴν Αὐλίδα καὶ πολλαχοῦ τῆς Ἑλλάδος φρέατα ὀρύξαι.

7 [h]ἈΓΈΛΑΣΤΟΣ ΠΈΤΡΑ: Ἐπὶ τῶν λύπης προξένων πραγμάτων

Aristophanes proscindit, et fortasse quem Plato ob epinicium in tragicorum certamine celebrat. Vide Hesychium. SCHOTT. Vid. B. 7.

[d] Κιλίκων] Mire variant paroemiographi. Suidas, ut noster, ἀγαθὰ Κιλίκων. Additque, λείπει ἔχει, gignendi casu, noster nominandi. Mox tamen, ὁ Κιλικίων inflectit. Diogenianus *Cilicem* facit. Προδότης γάρ, inquit, τις τῶν Κιλίκων. Aristophanes vero ἐν Εἰρήνῃ [362.] ὁ Κιλλικῶν (quomodo et Erasmus scribit) et *Cilicontis* ibidem commemorat exitium Scholiastes. SCHOTT.

[e] Ἅβρωνος] *Habron* hic, κύριον ὄνομα, Argivus fuit Suidæ, qui a mollitie sic dictus: et ab illo *Habronia vita*. Et Apostolium editum video hîc legisse ἴδιον καὶ ἁβροδίαιτος, et Suidam ἁβρώνειος. Fuit et *Habron* alter Sophista, ac Lycurgi Oratoris F. De quo in claris apud Senecam Rhetoribus disseruimus. Porro Diogenianus similia addit: *Sicula mensa*, et *Sybaritica vita*. SCHOTT.

[f] ἐγένοντο] Amplius hîc codex Vatic. Diogenianus, Suidas et Apostolius: Ἐγένοντο ἐν Ἐφέσῳ, οἵτινες ἐξαπατῆσαι τὸν Δία πεπείρανται. Simile etiam notat Diogenianus, λυκῶν δεκὰς, καὶ Κροβύλου ζεῦγος. Pulcer est Synesii Episcopi locus Epist. 101. ad Pylæmenem: Ἑτέρως δὲ οὐκ ἔστι πλουτεῖν ἐν ταῖς καθ' ὑμᾶς ἀγοραῖς, μὴ πάντα μιγνῦντα καὶ θεῖα καὶ ἀνθρώπινα δίκαια, καὶ κέρκωπα ἀντ' ἐλευθέρου γενόμενον. Plura Had. Junius, Centuria VII. Adag. 38. SCHOTT.

[g] Ἀγαμεμνόνεια] De liberis dici hominibus Apostolius ait. Meminit et Hesychius. SCHOTT.

[h] Ἀγέλαστος] Fabulam Cereris refert Apollodorus libro I. Biblioth. Pausanias in Atticis, Orpheus, et Proclus noster in Chrestomathia de Poëtica, ubi plura

εἴρηται. Ἔστι δὲ ἡ πέτρα αὕτη ἐν τῇ Ἀττικῇ, ἐφ' ἧς ἐκαθέσθη A
ἡ Δημήτηρ, ὅτε τὴν κόρην ἐζήτει· ἐρασθεὶς γὰρ Περσεφόνης ὁ
Πλούτων ἥρπασεν αὐτὴν κρύφα. [i]Δημήτηρ δὲ μετὰ λαμπάδων
νυκτός τε καὶ ἡμέρας κατὰ πᾶσαν τὴν γῆν ζητοῦσα περιήρχετο.
Μαθοῦσα δὲ παρ' Ἑρμιονέων ὅτι Πλούτων αὐτὴν ἥρπασεν, ὀργι-
ζομένη θεοῖς, κατέλιπεν οὐρανὸν, καὶ εἰκασθεῖσα γυναικὶ ἧκεν εἰς B
[k]Ἐλευσῖνα· ἔνθα ἐπὶ πέτραν ἐκάθισε, τὴν ἀπ' ἐκείνης κληθεῖ-
σαν Ἀγέλαστον.

8 [l]Ἀγρίου βέβρωκας: Οἱονεὶ ζώου ἀγρίου. Εἰώθασι δὲ οἱ βεβρωκότες χασμᾶσθαι.

9 Ἀγαθῶν θάλασσα: Ἐπὶ πλήθους ἀγαθῶν εἴρηται. C

10 Ἀγαθῶν σωρός: Ἐπὶ πολλῆς εὐδαιμονίας εἴρηται.

11 Ἀγαθῶν [m]μυρμηκία: Ἐπὶ πλήθους εὐδαιμονίας.

12 Ἀγαθὴ [n]καὶ μάζα μετ' ἄρτον: Ἐπὶ τῶν τὰ δευτερεῖά τισι διδόντων.

annotare memini ex Arnobio, Clemente Alexandrino, de Bauci anu. Proserpinæ raptus e Claudiano, aliisque notus. Vid. inf. proverb. [IV. 20.] ἡ Ἀμαία Ἀζησίαν μετῆλθεν. SCHOTT.

ib. Ἀγέλαστοι dicti Socrates a Plinio, Pericles ab Aristotele, M. Crassus a Lucilio apud Cic. et Philippus Aug. apud Victorem. Ceterum Vatic. hîc cod. ut alias, ordinem sic invertit: αὐτὴ ἔστιν ἐπὶ τῇ Ἀττικῇ. Ἐφ' ἧς ἐκαθέσθη ἡ Δημήτηρ, ὅτε τὴν κόρην ἐζήτει. Εἴρηται ἐπὶ τῶν λύπης προξένων πραγμάτων. Abest tamen hæc vox πραγμάτων a Diogeniano et Apostolio, neque hîc necessaria. Hesychius quoque proverbii meminit. SCHOTT.

[i] Δημήτηρ δὲ] Δήμητρα δὲ P. Vid. var. lectt. ad Herodot. II. 123.

[k] Ἐλευσίνην] Ἐλευσῖνα P. ἐλευσίνα F.

[l] Ἀγρίου] Eadem, ut alias sæpe, ad verbum Hesychius continet. SCHOTT.

[m] μυρμηκία] De formicarum aurum in India adservantium agmine Mela Pomponius libro III. cap. 7. Plinius lib. XI. c. 31. et alii, quos chiliastes Batavus suggeret: ut et simile illud Platonis lib. IX. de Rep. [p. 574 D.] τὸ τῶν ἡδονῶν σμῆνος, et in Menone [p. 72 A.] ἀρετῶν σμῆνος, ducta hac ab apibus, illa a formicis tralatione; de qua in Proverb. Sapiens cap. VI. Ἴθι πρὸς τὸν μύρμηκα ὦ ὀκνηρὲ, &c. Addunt LXX. Interpretes, citatque in Epistola ad Rusticum et in tertium caput Ezechielis beatus Hieronymus: ἢ πορεύθητι πρὸς τὴν μέλισσαν, καὶ μάθε ὡς ἐργάτις ἐστί. Hoc autem adagium superiori adnectit Vatican. Ἄμφω, inquit, λέγεται ἐπὶ πλήθους εὐδαιμονίας. SCHOTT.

[n] καὶ μάζα] Maza pane deteriore utebantur servi ac rustici. Athen. lib. VI. Δειπνοσοφ. [p. 270 E.] Πεινῶντι γὰρ ἀνδρὶ μάζα τιμιωτέρα Χρυσοῦ τε κἀλέφαντος. SCHOTT.

13 [o] Ἀγαμέμνονος θυσία: Ἐπὶ τῶν δυσπειθῶν καὶ σκληρῶν. Ἀγαμέμνονος γὰρ θύοντος ἐν Τροίᾳ, ἔφευγεν ὁ βοῦς, καὶ μόλις ληφθεὶς ἤχθη. A

14 [p] Ἀγαθοὶ δ' ἀριδάκρυες ἄνδρες: Ἐπὶ τῶν σφόδρα πρὸς ἔλεον ῥεπόντων.

15 [q] Ἀγροίκου μὴ καταφρόνει ῥήτορος: Ὅτι μηδὲ τῶν εὐ- B τελῶν χρὴ καταφρονεῖν, παραινεῖ ἡ παροιμία.

16 [r] Ἀγναμπτότατος βάτος αἴος: Ἐπὶ τοῦ σκληροῦ καὶ αὐθάδους τὸν τρόπον.

17 [s] Ἀνενδεὴς ὁ Θεός: Παροιμία· παρ' ὅσον οὐδενὸς ἐπιδέεται [t] ὁ Θεός. C

18 [u] Ἀδμήτου μέλος: Τὸ εἰς Ἄδμητον μέλος ᾀδόμενον πένθιμον.

[v] Οὗτος δὲ ὁ Ἄδμητος βασιλεὺς ἦν τῶν Φερῶν, ᾧτινι Ἀπόλλων

[o] Ἀγαμέμνονος] Addit Diogenianus [I. 6.] de Iphigenia filia, quam in Aulide immolare pater voluit: de qua nota Euripidis tragœdia est, ab Erasmo feliciter iambicis reddita. SCHOTT.

[p] Ἀγαθοὶ] Hujus proverbii meminit Schol. Hom. Ven. Il. α'. 349. τ'. 5. Adde Eustath. Il. ι'. p. 761, 25.

[q] Ἀγροίκου μὴ] Vatic. ὑποθετικὴ ἡ παροιμία, &c. Huc vero pertinet Ciceronis illud lib. I. Offic. Christiano homine dignum: *Quo major es, eo te geras submissius.* SCHOTT.

[r] Ἀγναμπτότατος] Ita legendum. Nam vitiose Suidas, etiam calamo exaratus, quo utor, ἀγναπτότατος, ejusque interpres Wolfius *impolitissimus* reddidit. Corrupte et Apostolius ἀγραπτότατος. Diogenianus non ὑπερθετικῶς sed συγκριτικῶς sic legit, Ἀγναμπτότερος βάτου αἴου. Sic autem Orpheus περὶ λίθων initio dixit: Ἄγναμπτον σθένος, *Rigidum robur*. SCHOTT.

[s] Sumtum id e sacris litteris Psal. XV. Εἶπα τῷ κυρίῳ, κύριός μου εἶ σὺ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις. Utitur et M. Censorinus initio de die natali. SCHOTT.

[t] ὁ Θεὸς] ὁ om. P.

[u] Ἀδμήτου] Admeti et Alcestidis fabula ex Euripide singulari tragœdia *Alcestidis* nota, interprete Georgio Buchanano Scoto. Plura etiam suppeditabit ἐν Σφηξὶ Aristophanis interpres [v. 1231.], et Apostolius proverb. Ἀλκήστιδος ἀνδρεία, ubi Palæphatum περὶ ἀπίστων [c. 41.], ut alias frequenter, descripsit, et in Chiliadibus Ioan. Tzetzes. Porro proverbium codex Vaticanus ita explanat: Ἐπὶ τῶν σκολιῶν. Τοιαῦτα γὰρ καὶ τὰ εἰς Ἁρμόδιον καὶ Ἄδμητον μέλη σκολιά. Τινὲς δὲ κατ' ἀντίφρασιν εἰρῆσθαι λέγουσιν, ὅτι ῥᾴδια καὶ ὀλιγόστιχα, ὡς ἐπιγράμματα. Διὸ καὶ ἐπὶ ῥαδίων εἰρῆσθαι λέγουσιν. SCHOTT.

[v] Οὗτος δὲ ὁ Ἄδμητος] Sumpta sunt sequentia ex Apollodoro Bibl. I. 9, 15. III. 10, 3.

ἐθήτευσε δι' αἰτίαν τήνδε. Ἀσκληπιὸς ὁ Ἀπόλλωνος παῖς παρὰ Χείρωνος τὴν ἰατρικὴν παιδευθεὶς, καὶ παρὰ Ἀθηνᾶς λαβὼν τὸ ἐκ τῶν φλεβῶν τῆς Γοργόνης ῥυὲν αἷμα, δι' αὐτοῦ πολλοὺς ἐθεράπευε. Τῷ μὲν γὰρ ἐκ τῶν ἀριστερῶν φλεβῶν ῥυέντι πρὸς φθορὰν ἀνθρώπων ἐχρῆτο· τῷ δ' ἐκ τῶν δεξιῶν, πρὸς σωτηρίαν. Ὅθεν καί τινας τεθνεῶτας ἀναστῆσαι μυθολογεῖται. [x]Διὰ γοῦν τὸ μὴ δοξαι τοῦτον παρ' ἀνθρώποις εἶναι θεὸν, ὁ Ζεὺς ἐκεραύνωσεν. Ἀπόλλων δὲ ὀργισθεὶς κτείνει Κύκλωπας τοὺς τὸν κεραυνὸν κατασκευάσαντας τῷ Διί. Ζεὺς δὲ [y]ἐμέλλησε ῥίπτειν αὐτὸν εἰς Τάρταρον, ἀλλὰ δεηθείσης Λητοῦς ἐκέλευσεν αὐτῷ ἐνιαυτὸν ἀνδρὶ θητεῦσαι. Ὁ δὲ παραγενόμενος εἰς Φερὰς [z]εἰς Ἄδμητον, τούτῳ λατρεύων ἐποίμαινε, καὶ τὰς θηλείας βοῦς πάσας [a]διδυμοτόκους ἐποίησε. Φιλοφρονηθεὶς δὲ τὰ μέγιστα παρ' αὐτοῦ, ᾐτήσατο τὰς Μοίρας, ἵν' ὅταν ἡ τελευτὴ τῷ Ἀδμήτῳ ἐπικλωσθῇ, ἑτέρου τινὸς ἀντὶ τούτου θνήσκειν προαιρουμένου, τὸν Ἄδμητον [b]τοῦ θανάτου ἀπολυθῆναι. Ὡς δὲ ἦλθεν ἡ τοῦ θνήσκειν ἡμέρα, μήτε τοῦ πατρὸς μήτε τῆς μητρὸς ὑπὲρ αὐτοῦ θνήσκειν θελόντων, Ἄλκηστις ὑπεραπέθανεν ἡ τούτου γυνή. Ἔκτοτε οὖν [c]σκολιὰ καὶ πενθήρη πρὸς τὸν Ἄδμητον ᾔδοντο μέλη, μέχρις ἂν ἡ Κόρη ἀνέπεμψεν Ἄλκηστιν. Ὡς δὲ λέγουσιν ἔνιοι, Ἡρακλῆς πρὸς αὐτὸν ἀνεκόμισε [d]μαχεσάμενος Ἅιδῃ.

(Margin letters A, B, C, D, E.)

19 [e]ἌΔΕΙΝ ΠΡῸΣ ΜΥΡΡΊΝΗΝ: Ἔθος ἦν τὸν μὴ δυνάμενον ἐν τοῖς

x Διὸ γοῦν] διὰ γοῦν P. F.

y ἐμέλει] ἐμέλησε P. et Apollodorus, ἔμελλε conj. Hemsterhusius ad Luciani Nigrin. 10.

z εἰς Ἄδμητον] πρὸς Ἄδμητον Apollodorus. ὡς Ἄδμητον malit Valckenærius.

a διδυμοτόκους] διδυματόκους Apollod.

b ἀπὸ τοῦ θανάτου] ἀπὸ om. P. cum Apollod.

c σκολιὰ] De his Julius Pollux, et Aristophanis interpres, ac pluribus nos ad Procli Chrestomathiam e Photii Bibliotheca disseruimus. SCHOTT.

d μαχησάμενος] μαχεσάμενος F. P. Apollod.

e Ἄδειν] Totidem verbis Apostolius, nisi quod vitiose πρὸ μυρίνην habet. Falsa tamen narrat uterque. Nam in conviviis qui canerent, myrtum laurumve manu tenebant, ut e Dicæarcho Hadr. Junius vir doctiss. observat lib. III. Animadversorum cap. 7. Morem autem hunc Cicero Tusc. Quæst. lib. I. [c. 2.] et ex illo Fabius lib. I. [c. 10, 19.] sic commemorat: *Mos in conviviis, ut post cœnam circumferretur lyra: cujus cum se imperitum Themisto-*

συμποσίοις ᾆσαι, δάφνης κλῶνα ἢ μυῤῥίνης λαβόντα πρὸς τοῦτον ᾄδειν. A

20 [f] Ἀετὸν κάνθαρος [g] μαιεύεται: Παροιμία. Τὰ γὰρ ὠὰ τοῦ ἀετοῦ ἀφανίζουσιν οἱ κάνθαροι κυλίοντες, ἐπεὶ οἱ ἀετοὶ τοὺς κανθάρους ἀναλέγουσιν.

21 [h] Ἀληλεσμένον βίον καὶ μεμαλαγμένον βίον: Ἐπὶ τοῦ B ἑτοίμου καὶ προχείρου καὶ ἀκόπου.

22 [i] Ἄλλος βίος, ἄλλη δίαιτα: Ἐπὶ τῶν ἐπ' ἀμείνονα βίον [k] μεταβαλόντων.

23 [l] Ἄλας ἄγων καθεύδεις: Ἐπὶ τῶν ἐν μεγάλῳ κινδύνῳ καθεύδόντων...

cles confessus esset, ut verbis Ciceronis utar, habitus est indoctior. Pluribus Plutarchus lib. I. Symposiacῶn, Quæst. 1. et Lævinus Torrentius, accuratissimæ vir diligentiæ, ad Horatium lib. II. Ode VII. exstatque hac de re Σκολιὸν apud Athenæum libro postremo, quod et in Emendat. librum XII. cap. 7. retulit Paulus Leopardus, legiturque apud Suidam in dict. ἀγοράσω, et ἐν μύρτου κλάδῳ, et οὐδέ ποτ' ἐγὼ τοῦτον ὑποδέξομαι· οὐδὲ παρ' ἐμοὶ ποτὲ τὸν Ἁρμόδιον ᾄσεται. SCHOTT. Vid. Schol. Aristoph. Nub. 1367.

[f] Ἀετὸν κ. μ.] Aristoph. Lysist. 694. et schol. ibid.

[g] μεθύεται] Sic vitiose præfert Zenobius, pro quo recte Diogenianus et Apostolius μαιεύεται, et Suidas atque Hesychius μαιεύσομαι, quod *obstetricari* est. Erasmum vero ejusdemque familiarem Gilb. Cognatum μαίεται pro *quærere* legisse video. Certe ex litterarum compendiis, ut fit, natum mendum. Notus autem e Luciano et Aristophane ἐν εἰρήνῃ Apologus de aquila et scarabæo. Adagium etiam explicant alii aliter. Apostolius et Diogenianus usurpatum aiunt in eos qui injuriam ab aliis accipiunt: amplius vero Suidas, de iis qui a majoribus læsi sese ulciscuntur. SCHOTT. μαιεύεται F. in corrigendis.

[h] Ἀληλεσμένον] Diogenianus et Apostolius, nominandi casu: nos ἄγειν exaudimus et hîc et in Vatican. in quo ἀληλεσμένην τροφὴν legitur. Suidas bifariam exponit, de iis qui glandibus victitant, vel qui facillime agitant; quod posterius Apostolium amplecti video. Mihi quoque usurpari posse videtur de iis, qui partis alienis fruuntur, ut heredes paternorum bonorum, quod in vitæ felicitate Martialis numerat: *Res non parta labore, sed relicta.* Pro βίον μεμαλαγμένον *permolitam*, Diogenianus βίον μεμαγμένον habet. Quomodo et Aristoph. ἐν ἱππεῦσι non semel, ut, Ἐγὼ δὲ μαζίσκας γε διαμεμαγμένας Καὶ τοὔψον ὀπτόν. SCHOTT.

[i] Ἄλλος βίος] Sic Comicus in Andria: *Nunc hæc dies aliam vitam adfert, alios mores postulat.* SCHOTT.

[k] μεταβαλλόντων] μεταβαλόντων P.

[l] Ἄλας ἄγων] Eadem Diogenian. Suidas et Apostolius. Huic affine esse docet Suidas illud: Ἀλῶν δὲ φόρτος ἔνθεν ἦλθεν ἔνθ' ἔβη. De quo vide hîc infra. SCHOTT.

θευδόντων καὶ ῥαστωνευομένων. ˡἘμπόρου γάρ τινος τὴν ναῦν A ἁλῶν πληρώσαντος καὶ καθεύδοντος, τὴν ἀντλίαν ἐπαναβῆναι συνέβη καὶ ἐκτῆξαι τοὺς ἅλας. [m]Ὅθεν ἡ παροιμία.

24 ᵛἌλλοτε δ' ἀλλοῖον τελέθειν [n]καὶ χῶραι ἕπεσθαι: ᵛὍτι προσήκει ἕκαστον ἐξομοιοῦν ἑαυτὸν τούτοις, ἐν οἷς ἂν καὶ γένηται τόποις· ἐκ μεταφορᾶς τοῦ πολύποδος. B

25 [o]Ἅλας [p]καὶ κύαμον: ˡἘπὶ τῶν εἰδέναι μέν τι προσποιουμένων, οὐκ εἰδότων δέ. ˡἘπεὶ οἱ μάντεις εἰώθασι τιθέναι τὸν ἅλα καὶ κύαμον πρὸ τῶν μαντευομένων· ὅθεν καὶ τοῖς τῶν ἀπορρήτων κοινωνοῦσι κύαμον ἐτίθουν.

26 [q]Αἲξ οὐρανία: [r]Κρατῖνος φησὶ καθάπερ Διὸς αἶγα Ἀμαλθείαν, οὕτω καὶ τῶν "δωροδοκούντων αἶγα οὐρανίαν." Οἱ δὲ τοὺς εἰς τὸ ἀργυρίζεσθαί τισιν ἀφθόνως ἀφορμὰς παρέχοντας οὕτως εἰώθασι λέγειν κωμῳδοῦντες, ἐπεὶ [s]καὶ ὁ τῆς Ἀμαλθείας κέρας ἔχων πᾶν ὃ [t]ἐβούλετο εἶχεν. C

27 [u]Αἲξ τὴν μάχαιραν: Παροιμία ἐπὶ τῶν κακῶς τὶ καθ' D

[m] Ὅθεν ἡ παροιμία addit P.

[n] καὶ χῶρα] Emendo, καὶ χώρᾳ. Cui affine, Νόμῳ καὶ χώρᾳ, scil. ἕπου. Aristoph. [Pl. 47.] Ἀσκεῖν τὸν ἐπιχώριον τρόπον. Similia ex Pindaro, Theognide, et Clearcho apud Athenæum collegit Desiderius Chiliastes, adagio *Polypi mentem obtines*. SCHOTT. χώρα F.

[o] Ἅλα καὶ] ἅλας καὶ P. F.

[p] καὶ κύαμον] Ambigi merito queat, legendumne καὶ κύμινον ex Plutar. Symposiac. lib. V. Quæst. 10. *Cuminum* enim, ut et *sal*, seu *mensam*, societatis symbola esse ex eodem disputat Erasmus, adag. *Qui circa salem et fabam*. Copiosius vero Bernardinus Gomesius Miedes, Episc. Hispanus, singulari de Sale Commentario. Mox paulo aliter Diogenianus περὶ ἅλα καὶ κύαμον ἔλεγον. Nos Zenobium expressimus. SCHOTT.

[q] Αἲξ οὐρανία] Affinia hæc adagia duo: quorum de altero *Cornu copiæ*, infra Zenobius, copiosius Diogenianus, Apostolius, et e Nasone ac Plutarcho aliisque Desiderius. De priore vero Plutarchus Commentario De audiendis poëtis [p. 27 C.] in Comœdia veteri Polyagrum quemdam, ob uxorem prostitutam, immensumque quæstum, οὐράνιον αἶγα notatum refert. SCHOTT.

[r] Κρατῖνος] Apud Runkel. p. 66.

[s] καὶ τῆς] καὶ ὁ τῆς P.

[t] βούλεται] ἐβούλετο P.

[u] Αἲξ τὴν μ.] Parœmia est Corinthiorum, ut ex Suida et Apostolio Byzantio colligo, ubi integre est ἡ αἲξ δοῦσα τὴν μάχαιραν. Sed in Apostolio vitiose Ἀσκραία Juno, quasi e patria sit Hesiodi, quæ Ἀκραία ἀπὸ τοῦ Ἄκρου promontorio dicta. Livius [XXXII. 23.] *Promontorium*, inquit, *est adversus Sicyonem Junonis, quam vocant Acræam*, &c. Meminit ejus in Medea Euripides [v. 1346.] et

ἑαυτῶν ποιούντων, ἀπὸ ἱστορίας τοιαύτης· Κορίνθιοι θυσίαν τελοῦντες Ἥρᾳ ἐνιαύσιον, τῇ ὑπὸ Μηδείας ἱδρυνθείσῃ καὶ Ἀκραίᾳ καλουμένῃ, αἶγα τῇ θεῷ ἔθυον. Τινὲς δὲ τῶν κομισάντων μισθωτῶν ἔκρυψαν τὴν μάχαιραν, καὶ [x]σκεπτομένων ἔνθα ἀπέθεντο, ἡ αἶξ τοῖς ποσὶν ἀνασκαλεύσασα ἀνέφηνε, καὶ τὴν μὲν σκῆψιν αὐτῶν διήλεγξεν, ἑαυτῇ δὲ τῆς σφαγῆς αἰτία ἐγένετο· ὅθεν ἡ παροιμία. A B

28 [y]Ἄδακρυς πόλεμος: Ἐπὶ τῶν ἔξω κινδύνου παντὸς ῥᾷστα δὲ καὶ παρ' ἐλπίδα τὰ πράγματα κατορθούντων.

29 Ἀδύνατα [z]θηρᾷς: Ἐπὶ τοῦ ἐγχειροῦντος μείζοσιν ἢ καθ' ἑαυτόν. C

30 Ἀδράστεια [a]Νέμεσις: Ἀπὸ Ἀδράστου· τάττεται δὲ ἐπὶ τῶν πρότερον μὲν εὐδαιμονησάντων, ὕστερον δὲ δυστυχησάντων.

[b]Ἐτεοκλῆς γὰρ καὶ Πολυνείκης μετὰ τὴν ἀπώλειαν τοῦ ἰδίου πατρὸς Οἰδίποδος τὴν βασίλειαν Θηβῶν παραλαβόντες, περὶ ταύτης συντίθενται πρὸς ἀλλήλους, καὶ αὐτοῖς δοκεῖ τὸν ἕτερον παρ' ἐνιαυτὸν ἄρχειν, καὶ οὕτως κατ' ἔτος τὴν βασίλειαν ἀμείβεσθαι. Ἄρξαντος οὖν Ἐτεοκλέους καὶ μὴ βουλομένου τῷ ἀδελφῷ τὴν D

pluribus Pausan. lib. II. [c. 24.] Strabo lib. VIII. [583=551.] oraculum ejus nominat. Et Tertull. lib. ad uxorem, emendante Rhenano [p. 165 A.] *Acreæ Junoni apud Ægium opidum virgo sortitur*. SCHOTT.

x σκεπτομένων] σκηπτομένων Hesychius.

y Ἄδακρυς] Addit Diogenianus, et ex illo Apostolius, adagii originem: puta oraculum Lacedæmoniis datum, fore ut incruenta pugna Arcadum victores evaderent. Atque ita etiam Zenob. Vatic. Ὁ γὰρ Δωδωναῖος, Λακεδαιμονίοις πολεμοῦσιν Ἀρκάδας πρὸς μάχην ἄδακρυν ἔσεσθαι. Οἳ καὶ βαλόντες ἐνίκησαν μηδενὸς ἀποθανόντος. SCHOTT. Plutarch. in vita Agesilai p. 614 E. Ἀρχίδαμος δὲ τὴν ἐκ Σικελίας ἥκουσαν παρὰ τοῦ τυράννου βοήθειαν ἔχων, ἐνίκησεν Ἀρκάδας τὴν λεγομένην ἄδακρυν μάχην. Οὐδεὶς γὰρ ἔπεσε τῶν μετ' αὐτοῦ, συχνοὺς δὲ τῶν ἐναντίων ἀνεῖλεν.

z θηρᾷς] Metaphora venantium qui feras investigant, unde adagii speciem præferre visum et Erasmo. Chilonis est Apophthegma: *Quod effectum dare nequeas, tentandum non esse*. SCHOTT.

a Νέμεσις] Diogenianus [VI. 80.] effert hoc modo, ἡ Νέμεσις παρὰ πόδας βαίνει. Similia vero proverbia de Nemesi et Adrasto ad Chiliasten Henricus Stephanus collegit. De oraculo apri et leonis legendus est Græcus Euripidis interpres [Phœn. 416.] SCHOTT.

b Ἐτεοκλῆς] Seqq. derivata sunt ex Apollodoro III. 6. et 7.

βασίλειαν παραδοῦναι μετὰ τὴν τοῦ χρόνου παρέλευσιν, Πολυνεί- A
κης ἐφυγαδεύθη, καὶ πρὸς Ἄργος ἀφικόμενος τοῖς τοῦ Ἀδράστου
βασιλείοις προσεπέλασε νύκτωρ, καὶ προστυχὼν ἐκεῖσε τῷ Τυδεῖ
φεύγοντι ἐκ Καλυδῶνος δι' ὃν εἰργάσατο φόνον, συνάπτει μάχην.
Γενομένης δὲ βοῆς, Ἄδραστος ἐπιφανεὶς τούτους διέλυσε. Καὶ
λογίου τινὸς ἀναμνησθεὶς λέγοντος αὐτῷ, κάπρῳ καὶ λέοντι τὰς B
θυγατέρας συζεῦξαι, ἀμφοτέρους εἵλετο νυμφίους. Εἶχον γὰρ
ἐπὶ τῶν ἀσπίδων, ὁ μὲν προτομὴν λέοντος, ὁ δὲ κάπρου. Ὑπέ-
σχετο οὖν καὶ ἀμφοτέρους εἰς τὰς ἰδίας ἀποκαταστῆσαι πατρίδας.
Καὶ πρῶτον ἐπὶ Θήβας στρατεύει, ἔνθα τῶν ἀρίστων Ἀργείων
πεσόντων μόνος διέφυγεν Ἄδραστος. Τοὺς δὲ νεκροὺς αὐτῶν ἀτά- C
φους τῶν Θηβαίων ῥιψάντων καὶ μὴ διδόντων ταφῇ, οἱ τῶν ἀπο-
θανόντων παῖδες πρὸς τὸν τοῦ Ἐλέου καταφυγόντες βωμὸν τοὺς
νεκροὺς [c] ἐζήτουν. Ἀθηναίων δὲ στρατευσάντων, οἱ νεκροὶ δίδονται.
Ὅτε καὶ Εὐάδνη ἡ τοῦ Καπάνεως γυνὴ ἑαυτὴν τῇ πυρᾷ βαλοῦσα
τῷ τοῦ ἀνδρὸς συγκατεκαύθη νεκρῷ. Μετὰ δὲ χρόνους οἱ τῶν D
ἀπωλομένων Ἀργείων [d] παῖδες ἐπὶ Θήβας ἐστρατεύσαντο, τὸν τῶν
πατρῶν θάνατον βουλόμενοι τιμωρήσασθαι. Τειρεσίου δὲ τοῦ
μάντεως θεσπίσαντος Θηβαίοις τὴν νίκην ἐπ' Ἀργείοις κεῖσθαι,
δρασμὸν ἐπενόησαν· καὶ στέλλουσι μὲν πρέσβεις πρὸς Ἀργείους,
αὐτοὶ δὲ νυκτὸς τὴν πόλιν καταλιπόντες, φυγάδες ᾤχοντο. Εἰ- E
σίασιν οὖν εἰς τὴν πόλιν Ἀργεῖοι, καὶ τὰ ταύτης τείχη καθελόν-
τες, τὴν λείαν συνήθροισαν. Ὅθεν ἡ παροιμία προήχθη λέγεσθαι
ἐπὶ τῶν ἄδικα διαπραττομένων καὶ τὴν δίκην μὴ ἐκφευγόντων.

31 [e] ἉΡΠΑΓᾺ ΤᾺ ΚΙΝΝΆΡΟΥ: Ταύτης μὲν μέμνηται [f] Καλλίμα-

[c] ἐζήτουν] ἐξῄτουν Heynius ad Apollod. p. 254. ἠξίου θάπτειν Apollod.

[d] παῖδες ἐπὶ Θήβας] Huc retraxi quæ vulgo leguntur infra VI. 15. ἐστρατεύσαντο, τὸν τῶν πατρῶν etc. deletis μίαν νίκην ἰδίαν etc. quæ non pertinent ad Ἀδράστεια Νέμεσις, sed ad Ἀρκάδας μιμούμενος II. 59.

[e] Ἁρπαγὰ] Chiliastes Eras. adagium sic concepit: Ἁρπαγὴ τῶν Κιννάρου. Neque Callimachi ille meminit: ut nec Suidas iamborum Callimachi, de quibus in placitis Philosophorum lib. primo Plutarchus; et Etymologista in voce Ἅλες laudat Callimachi χωλιάμβους. Vitiose autem Hesychius: Ἁρπαγὴ τὰ κόρνα, &c. SCHOTT.

[f] Καλλίμαχος] Vid. Fragm. Bentl. n. 79.

χος ἐν ἰάμβοις. Τίμαιος δὲ ἔφη ὅτι Κίνναρος ἐγένετο πορνοβοσκὸς Σελινούσιος. Πλουσιώτατος [g]γοῦν ἐκ τῆς ἐργασίας γενόμενος, ζῶν μὲν ἐπηγγέλλετο τὴν οὐσίαν ἱερὰν τῇ Ἀφροδίτῃ καταλεῖψαι, τελευτῶν δὲ τὰ ὄντα προὔθηκεν εἰς ἁρπαγήν. A

32 [h]Ἀρχὴ Σκυρία: Παροιμία ἐπὶ τῶν εὐτελῶν καὶ μηδὲν [i]λυσιτελὲς ἐχόντων· παρ' ὅσον πετρώδης καὶ λυπρά ἐστιν ἡ Σκυρός. B

33 [j]Αἴθης πέπλος: Ἐπὶ τῶν ὑπεκκαιόντων καὶ φθειρόντων καὶ διαβολὰς ποιούντων· [k]εἴρηται δὲ παρ' ὅσον ἡ Δηϊάνειρα πέπλον ἔπεμψεν Ἡρακλεῖ, ὑφ' οὗ καυθεὶς ἐφθάρη.

[l]Ἡρακλέους γὰρ τοὺς Κενταύρους καταπολεμήσαντος, [m]εἷς ἐξ αὐτῶν Νέσσος ὀνομαζόμενος διαφυγὼν ἧκεν ἐπὶ ποταμὸν Εὔηνον, C ἐν ᾧ καθεζόμενος τοὺς παραπλέοντας διεπόρθμευεν. Ἀπερχόμενος δὲ Ἡρακλῆς πρὸς Κήϋκα εἰς Τραχῖνα [n]ἦγε μεθ' ἑαυτοῦ καὶ Δηϊάνειραν. Αὐτὸς μὲν οὖν Ἡρακλῆς τὸν ποταμὸν διήει· Δηϊανείρας δὲ μισθὸν αἰτηθεὶς, [o]ἐκέλευε Νέσσῳ διακομίζειν. Ὁ δὲ διαπορθμεύων ἐπεχείρει βιάζεσθαι· τῆς δὲ ἀνακραγούσης αἰσθόμενος Ἡρακλῆς ἐτόξευσε Νέσσον εἰς τὴν καρδίαν. D Οὗτος δὲ μέλλων τελευτᾶν προσκαλεσάμενος Δηϊάνειραν εἶπεν, εἰ θέλοι φίλτρον πρὸς Ἡρακλέα ἔχειν, τὸ ῥυὲν ἐκ τοῦ τραύματος τῆς ἀκίδος αἷμα ἐκμάξασθαι. Ἡ δὲ ποιήσασα τοῦτο, ἐφύλαττε παρ' ἑαυτῇ. Ἀπελθὼν οὖν Ἡρακλῆς εἰς Τραχῖνα, κἀκεῖθεν στρατευσάμενος ἐπὶ τὴν Οἰχαλίαν, τὴν πόλιν αἱρεῖ. E Καὶ λῃίσας ταύτην, ἦγεν Ἰόλην αἰχμάλωτον. Μέλλων δὲ τῷ Διὶ χαριστήρια θύειν,

[g] γοῦν] οὖν P.

[h] Ἀρχὴ Σκυρία] Pluribus proverbii occasionem usumque commemorant, Suidas, eumque secutus Apostolius. Nisi quod λυπηρὰ tribus syllabis, pro λυπρὰ, *aspera* pro *sterili* habet. Julius Pollux lib. VIII. [81.] Σκυρίαν δίκην de *judicio severo ac rigido* interpretatur, meminitque ejus Suidas et Hesychius. SCHOTT.

[i] λυσιτελὲς] λυσιτελῶς P.

[j] Αἴθης] Sic Diogenianus legit. Apostolius αἴθεις ἐν πέπλῳ. Hen. Stephano cum Erasmo non convenit, qui *ardens vestis* reddiderat, ut et Gilb. Cognatus, cum αἴθης verbum sit, non autem participium aut nomen. Verti itaque *ardeas o tunica*. Mox pro ἧκε, omnino legendum est ἦγε. SCHOTT. Male Schottum vertisse docet Valesius ad Hesych.

[k] Εὔρηται] εἴρηται P.

[l] Ἡρακλέους γὰρ] Sumpta sunt seqq. ex Apollodoro II. 5, 4. 7, 6.

[m] εἷς αὐτῶν] εἷς ἐξ αὐτῶν P. qui mox καθεζόμενος pro καθιζόμενος.

[n] ἧκε] ἦγε Schottus. Apollodorus, ἄγων δὲ Δηϊάνειραν ἐπὶ ποταμὸν Εὔηνον ἧκεν.

[o] ἐκέλευσε] ἐκέλευε P.

ἔπεμψε πρὸς Δηϊάνειραν [p]λαμπρὰν ἐσθῆτα ζητῶν. Μαθοῦσα δὲ A Δηϊάνειρα τὰ περὶ τὴν Ἰόλην, καὶ δείσασα μὴ ἐκείνην μᾶλλον ἀγαπήσῃ, νομίσασα ταῖς ἀληθείαις φίλτρον εἶναι τὸ ῥυὲν αἷμα Νέσσου, [pp]τούτῳ τὸν χιτῶνα ἔχρισεν. Ἐνδυσάμενος οὖν Ἡρακλῆς, ἔθυεν. Ὡς δὲ θερμανθέντος τοῦ χιτῶνος ὁ τῆς ὕδρας ἰὸς τοῦ χρωτὸς καθήπτετο, τὸν χιτῶνα ἀπέσπα προσπεφυκότα τῷ B σώματι, συναπεσπῶντο δὲ καὶ αἱ σάρκες αὐτοῦ. Τοιαύτῃ συμφορᾷ κατασχεθεὶς Ἡρακλῆς, εἰς Τραχῖνα πρὸς Δηϊάνειραν κομίζεται. Αὕτη μὲν οὖν αἰσθομένη τὸ γεγονὸς, ἑαυτὴν ἀνήρτησεν. Ἡρακλῆς δὲ ἐντειλάμενος Ὕλλῳ, ὃς ἦν ἐκ Δηϊανείρας αὐτῷ παῖς πρεσβύτερος, Ἰόλην γῆμαι, παρεγένετο εἰς Οἴτην ὄρος, ἔνθα πυ- C ρὰν ἀνῆψεν, ἧς ἐπιβὰς, ὑφάπτειν ἐκέλευσε. Μηδενὸς δὲ τῶν σὺν ἐκείνῳ τοῦτο πράττειν ἐθέλοντος, [q]Ποίας παριὼν κατὰ ζήτησιν ποιμνίων, τὴν πυρὰν ὑφῆψεν· καὶ τούτῳ τὰ τόξα Ἡρακλῆς ἐδωρήσατο. Καιομένης δὲ τῆς [r]πυρᾶς, λέγεται νέφος ὑποστὰν μετὰ βροντῆς αὐτὸν εἰς οὐρανὸν ἀναπέμψαι. D

34 [s]Αἵματι κλαίειν: Κατὰ ὑπερβολὴν, οὐ δάκρυσιν ἀλλ' αἵμασι κλαίειν.

35 Αἱροῦντες ᾑρήμεθα: Ἐπὶ τῶν ἐλπισάντων κρατεῖν τινῶν [t]καὶ ὑπ' ἐκείνων ἁλόντων.

36 Αἱ [u]Χάριτες γυμναί: Ἤτοι, ὅτι δεῖ [v]ἀφειδῶς καὶ φανερῶς E χαρίζεσθαι· ἢ, ὅτι οἱ ἀχάριστοι τὸν ἑαυτῶν κόσμον ἀφῄρηνται.

[p] λαμπρὰν ἐσθῆτα] Licham nominari video, qui Herculi a Deianira missam vestem tulerit, quem furens Herc. in mare projecit. Unde *rupes Licha* dicta. Meminit Festus Pompeius. Fabulam vero narrat copiose Naso, lib. IX. Metamorph. et in Hercule furente Seneca Tragicus, et Martinus Delrius noster, doctus interpres. SCHOTT.

[pp] τούτου] τούτῳ Apoll. qui mox ποιήσας rectius pro ἀνῆψεν.

[q] Ποίας] Philoctetæ hic pater fuit. Sagittas autem reliquisse Philoctetæ comiti Herculem Tragici memorant: qua in re a Petro Victorio lib. II. Variar. Lect. cap. 14. Benedictus Ægius Spoletinus, doctissimus Apollodori Bibliothecæ interpres, valde discedit, et Ioan. Brodæus lib. I. Miscellan. cap. 15. SCHOTT.

[r] πυρᾶς] τῆς πυρᾶς P.

[s] Αἵματα] Atticismus est, qualis Latinorum *sanguinem pluit*. Apostolius αἵματι κλαίειν. Diogen. vero multitudinis numero αἵμασι. Simile etiam adfert ille, αἵματι στένων. SCHOTT. Dedi Αἵματι cum B.

[t] ὑπ' ἐκείνων] καὶ ὑπ' ἐ. P.

[u] Χάριτες γυμναί] Gratiæ cur nudæ pingerentur ac fingerentur,

37 [w]Αἱ Ἰβύκου γέρανοι: Ἐπὶ τῶν ἀπροσδοκήτως ἀφ' ὧν ἥμαρτον κολασθέντων. [v]Ἴβυκος γὰρ ὑπὸ λῃστῶν ἀναιρούμενος, καὶ γεράνους [x]ὑπεριπταμένας ἰδὼν, ἐμαρτύρατο. Χρόνου δὲ προϊόντος οἱ λῃσταὶ ἐν θεάτρῳ θεώμενοι γεράνους ἱπταμένας, πρὸς ἀλλήλους ἔλεγον, Αἱ Ἰβύκου γέρανοι. Εἶτα ἐκ τούτου ἁλόντες ἐκολάσθησαν. A B

38 [y]Αἰγιαλῷ λαλεῖς: Ἐπὶ τῶν ἀνηκούστων. Ὁμοία δὲ [z]αὕτη καὶ τῇ, Ἀνέμῳ διαλέγῃ.

39 [a]Αἰθέρα νήνεμον ἐρέσσειν: Ἐπὶ τῶν μάτην πονούντων.

40 [b]Ἀφ' Ἑστίας ἀρχόμενοι: Μετενήνεκται δὲ ἀπὸ τῶν περὶ τὰ ἱερὰ δρωμένων. Ἔθος γὰρ ἦν τῇ Ἑστίᾳ τὰς ἀπαρχὰς ποιεῖσθαι. C

cur invicem implexæ, disputat lib. de Beneficiis primo L. Seneca cap. 2. et Horatii interpretes ad illud: *Gratia cum nymphis geminisque sororibus audet Ducere nuda choros.* SCHOTT.

[v] ἀφειδῶς] ἀφελῶς Suidas. Schol. Aristidis T. III. p. 55. ed. Dind. οἱ γραφεῖς τὰς Χάριτας γυμνὰς γράφουσιν αἰνιττόμενοι ὅτι δεῖ τὴν χάριν ἄδολον εἶναι· τὸ γὰρ γυμνὸν καὶ φανερὸν ἄδολον.

[w] Αἱ Ἰβύκου] Historiam hanc divinæ argumentum providentiæ etiam Christiani usurpant, Nemesius, aliique. Plutarchus quoque lib. περὶ ἀδολεσχίας [p. 509 F.] ubi a latronibus dictum legas, αἱ Ἰβύκου ἔκδικοι. Ausonius in Monosyllabis: *Ibycus ut periit, vindex fuit altivolans grus.* Itaque Statium emendat Epicedio in patrem Guil. Canterus lib. I. Novarum Lectionem c. 12. *volucrumque precator Ibycus.* Ubi male vulgo *oblitus* legitur. SCHOTT.

[x] ὑπεριπταμένας] ὑπεριπταμένους P.

[y] Αἰγιαλῷ] Affine est, *In vino scribere,* Platoni in Phædro, Tibullo, et Catullo: *In vento, et rapida scribere oportet aqua.* Quod de amantibus usurpatum discas ex Helladii Chrestomathia, in Photii nostri Bibliotheca, ex Sophocle, pag. 865. Ὅρκους ἐγὼ γυναικὸς εἰς ὕδωρ γράφω. SCHOTT.

[z] καὶ τῇ] αὕτη καὶ τῇ P.

[a] Αἰθέρα νήνεμον ἐρέσσειν] Erasmus, omisso Zenobio, Hermolai Barbari ex epistola ad Ang. Politianum locum adhibet: Καὶ τοῦ πνεύματος ἁμαρτὼν, φασὶν, ἐπὶ τὰς κώπας χώρει. Vaticanus autem codex ἐρέσσεις scriptum habuit. SCHOTT. Αἰθεράνεμον αἱρήσεις P.

[b] Ἀφ' Ἑστίας] Reddi etiam posset, *A Lare incipiens.* Est autem Aristophanis ἐν σφηξὶ [842.] quo et Plato in Euthyphrone utitur [p. 3 A.], Aristides in Pericle [v. Schol. T. III. p. 510.], et sæpe Plutarch. explanatque Eustathius in Homerum [Od. η'. p. 1579, 45.]. De Vesta vero eruditum exstat Σύνταγμα Justi Lipsii nostri. Similiter quoque παροιμιακῶς dixit Philo: Ἀφ' ἱερᾶς ἀρχόμενοι: *Ab anchora incipiens.* SCHOTT. Plutarchi loca collegit Wyttenbachius ad p. 93 D., qui omnino consulendus, necnon Heindorf. ad Platonis Crat. p. 62.

41 [c]ἌΪΔΟΣ ΚΥΝΗ: Πρὸς τοὺς ἐπικρύπτοντας ἑαυτοὺς διὰ τινῶν A μηχανημάτων. Τοιαύτη γὰρ ἡ τοῦ Ἅιδου κυνῆ, ᾗ Περσεὺς χρησάμενος τὴν Γοργόνα ἐδειροτόμησεν.

Ἡ δὲ ἱστορία ἔχει οὕτως. [d]Ἀκρισίῳ περὶ παίδων γενέσεως ἀρρένων χρηστηριαζομένῳ, ὁ θεὸς ἔφη γενέσθαι παῖδα ἐκ τῆς θυγατρὸς, ὃς αὐτὸν ἀποκτείνῃ. Δείσας δὲ ὁ Ἀκρίσιος, ὑπὸ γῆν B θάλαμον χάλκεον κατασκευάσας, Δαναὴν τὴν αὐτοῦ θυγατέρα ἐφρούρει. Ταύτης ὁ Ζεὺς ἐρασθεὶς, καὶ εἰς χρυσὸν μεταμορφωθεὶς, διὰ τῆς ὀροφῆς εἰς τοὺς αὐτῆς κόλπους ἐρρύη. Αἰσθόμενος δὲ ὁ Ἀκρίσιος ἐξ αὐτῆς γεγεννημένον Περσέα, μετὰ τοῦ παιδὸς εἰς λάρνακα βαλὼν ἔρριψεν αὐτὴν εἰς [e]θάλασσαν. Προσενεχθεί- C σης δὲ τῆς λάρνακος ἐν Σερίφῳ νήσῳ, Δίκτυς ἄρας ἀνέτρεφε Περσέα. Βασιλεύων δὲ τῆς Σερίφου Πολυδέκτης ἀδελφὸς Δίκτυος, Δαναῆς ἐρασθεὶς, καὶ ἠνδρωμένου Περσέως μὴ δυνάμενος τελέσαι τὸν ἔρωτα, συνεκάλει τοὺς φίλους, μεθ᾽ ὧν καὶ Περσέα,

[c] Ἄϊδος κυνῆ] Orci galea. Ita reddidi, et statim *Plutonis galeam*, repugnante licet Hygino Astronomico Poëtico lib. II. his verbis: *A Mercurio talaria et petasum accepit, præterea galeam, qua indutus ex adverso non poterat videri. Itaque Græci ἄϊδος galeam dixerunt esse, non ut quidam inscientissime interpretantur, eum Orci galea usum: quæ res nemini docto potest probari.* Natum ex Homero adagium Iliad. ε΄. versu 845. αὐτὰρ Ἀθήνη Δῦν᾽ Ἄϊδος κυνέην, μή μιν ἴδοι ὄβριμος Ἄρης. Ubi Scholiastes *Orci galeam* interpretatur νέφος τι καὶ ἀορασίαν. Legendus et Apollonii Rhodii interpres, vel ἀπὸ κοινοῦ Scholiastes libro IV. Ἀργοναυτ. extremo. Hesych. sic interpretatur: Ἄϊδος κυνέη ἀθάνατόν τι νέφος, ὃ περιβάλλονται οἱ θεοὶ, ὅταν θέλωσιν ἀλλήλοις μὴ γιγνώσκεσθαι, &c. Meminit Euseb. lib. III. Præp. Evang. [p. 109 D.] *Plutonis raptoris galea caput tegitur, quod occulti verticis symbolum est.* Adagium vero adhibet Greg. Nazianzenus priore στηλιτευτικῷ in Julianum [p. 93 A.] (post Platonem lib. X. de Republ. [p. 612 B.]) Οὐδὲ εἰ τὴν Ἄϊδος κυνέην, ὃ δὴ λέγεται, περιθέμενος, ἢ τῷ δακτυλίῳ Γύγου καὶ τῇ στροφῇ τῆς σφενδόνης χρησάμενος, ἑαυτὸν ἀποκλέψειε: et ibi Nonnus Græcus Scholiastes num. LII. Origines lib. I. [c. 66.] contra Celsum, declarans magis convenisse ut in Ægyptum Christus Herodis conspectum fugeret, Ἢ τὴν λεγομένην παρὰ τοῖς ποιηταῖς Ἄϊδος κυνέην, ἤ τι παραπλήσιον ποιεῖν εἶναι περὶ τὸν Ἰησοῦν. Legat etiam, cui vacat, quæ philosophatur de Cimbris super hac re Ioannes Goropius Becanus lib. IV. Hermathenæ, et Gyraldum Deorum Syntagmate VI. SCHOTT.

[d] Ἀκρισίῳ περὶ παίδων] Ex Apollodoro II. 4.

[e] θάλασσαν] τὴν θάλασαν P.

λέγων, ἔρανον συνάγειν ἐπὶ τοὺς Ἱπποδαμείας τῆς Οἰνομάου γά- A μους. Τοῦ δὲ Περσέως εἰπόντος καὶ ἐπὶ τῇ κεφαλῇ τῆς Γοργόνος οὐκ [f] ἀντερεῖν, παρὰ μὲν τῶν ἄλλων ᾔτησεν ἵππους, [g] παρὰ δὲ τοῦ Περσέως οὐ λαβὼν τοὺς ἵππους, ἐπέταξε τῆς Γοργόνος τὴν κεφαλὴν κομίζειν. Ὁ δὲ Ἑρμοῦ καὶ Ἀθηνᾶς προκαθηγουμένων ἐπὶ τὰς Φόρκου [h] παραγίνεται θυγατέρας, [i] Ἐνυὼ, [k] Μεμφήδην, B καὶ Δεινώ. Ἦσαν δὲ αὗται γραῖαι ἐκ γενετῆς, ἕνα τε ὀφθαλμὸν αἱ τρεῖς καὶ ἕνα ὀδόντα εἶχον, καὶ ταῦτα παρὰ μέρος ἀλλήλαις ἤμειβον. Ὧν κυριεύσας ὁ Περσεὺς, ὡς ἀπῄτουν, ἔφη δώσειν ἂν ὑφηγήσωνται τὴν ὁδὸν τὴν ἐπὶ τὰς Νύμφας φέρουσαν. Αὗται δὲ αἱ Νύμφαι πτηνὰ εἶχον πέδιλα, [l] καὶ τὴν κίβισιν, ἥν φασιν εἶναι C πήραν· εἶχον δὲ καὶ τὴν Ἄϊδος κυνῆν, ἣν ὁ ἔχων οὓς μὲν ἤθελε ἔβλεπεν, ὑπ' ἄλλων δὲ οὐχ ὡρᾶτο. Ἀπελθὼν οὖν ὁ Περσεὺς, καὶ ἀναλαβόμενος ταῦτα, πτηνὸς διὰ τῶν πεδίλων πρὸς τὰς Γοργόνας ἐφέρετο. Ἦσαν δὲ αἱ Γοργόνες ἀδελφαὶ τρεῖς, [m] Εὐρυάλη, [n] Σθενὼ, Μέδουσα· κεφαλὰς μὲν ἔχουσαι περιεσπειραμένας φο- D λίσι δρακόντων, ὀδόντας δὲ μεγάλους ὡς συῶν, καὶ [o] χεῖρας καὶ πτέρυγας δι' ὧν ἐφέροντο· τοὺς δὲ ἰδόντας, λίθους ἐποίουν. Μόνη δὲ τῶν τριῶν θνητὴ ἦν ἡ Μέδουσα. Πρὸς ταύτην ὁ Περσεὺς ἀπεστραμμένος, καὶ βλέπων εἰς ἀσπίδα χαλκῆν, δι' ἧς τὴν εἰκόνα τῆς Γοργόνος ἔβλεπε, τὴν χεῖρα ἔτεινεν, Ἀθηνᾶς αὐτὴν κατευ- E θυνούσης. Καὶ καρατομηθείσης τῆς Μεδούσης, αἱ ταύτης ἀδελφαὶ ἀναπτᾶσαι τὸν Περσέα ἐδίωκον. Συνιδεῖν δὲ αὐτὸν μὴ δυνάμεναι

[f] ἀνταίρειν] ἀντερεῖν Apollodorus.

[g] παρὰ δὲ τοῦ Περσέως, &c.] Hæc periodus abest in editione Aldina. SCHOTT. Habet F. in corrig.

[h] παραγίνεται] γίνεται P. cum Apollod.

[i] Ἐνυὼ] Has tres Phorci filias aliter in Theogonia nominat Hesiodus. Lege Ovidium lib. IV. Metamorph. SCHOTT. ἐννυὼ F.

[k] Μεμφήδην] Πεμφρηδὼ Apollod.

[l] καὶ τὴν κίβισιν] Male qui per η κίβησιν scribunt in Hesiodi Theogonia [Scut. 224.], contra metri legem. Est autem κίβισις Cypriis πήρα auctore Hesychio. Meminit et Etymologista. SCHOTT.

[m] Εὐρυάλη, Στενὼ] De his sororibus idem Hesiodus in Theogonia et in Herculis scuto, si modo ejus est: Palæphatus, et Lycophronis interpres. Item Orpheus in Hymnis, qui non a Perseo, sed ab ipsa Pallade truncatam refert Medusam. SCHOTT.

[n] Στενὼ] Σθενὼ P. F. cum Apollod.

[o] χεῖρας] Apollodorus, χεῖρας χαλκᾶς καὶ πτέρυγας χρυσᾶς.

διὰ τὴν κυνῆν, ὑπέστρεψαν. Περσεὺς δὲ παραγενόμενος εἰς Σέριφον, καὶ καταλαβὼν Πολυδέκτην συγκαλέσαντα τοὺς φίλους αὐτοῦ πρὸς τὰ [p] βασίλεια, [q] ἀπεστραμμένος τὴν κεφαλὴν τῆς Γοργόνος ἔδειξε. Τῶν δὲ ἰδόντων ἕκαστος ἀπελιθώθη. Καὶ καταστήσας τῆς [r] Σερίφου βασιλέα Δίκτυν, τὴν κεφαλὴν τῆς [s] Γοργόνος Ἀθηνᾷ δίδωσι, τὴν δὲ κυνῆν Ἑρμῇ, ὡσαύτως [t] δὲ καὶ τὰ πέδιλα καὶ τὴν κίβισιν, ὁ δὲ πάλιν ἀπέδωκε ταῖς Νύμφαις. Ἀναλαβόμενος οὖν Περσεὺς τὴν μητέρα, πρὸς Ἄργος ἔσπευδεν, ἵνα τὸν Ἀκρίσιον θεάσηται. Ὁ δὲ τοῦτο μαθὼν, καὶ δεδοικὼς τὸν χρησμὸν, ἀπολιπὼν Ἄργος εἰς Λάρισσαν παραγίνεται. Τοῦ δὲ τῶν Λαρισσαίων βασιλέως γυμνικὸν ἀγῶνα διατιθέντος ἐπὶ κατοιχομένῳ τῷ πατρὶ, παρεγένετο καὶ ὁ Περσεὺς ἀγωνίσασθαι θέλων. Ἀγωνιζόμενος δὲ πένταθλον, τὸν [u] δίσκον ἐπὶ τὸν Ἀκρισίου πόδα βαλὼν ἀπέκτεινεν αὐτόν. Καὶ οὕτω πέρας εἴληφεν ὁ χρησμός.

42 ΑἼΞ ΟὔΠΩ ΤΈΤΟΚΕΝ, [x] ἜΡΙΦΟΣ [y] Δ' ἘΠῚ ΔΏΜΑΤΑ ΠΑΊΖΕΙ: Ἐπὶ τῶν οὔπω τεχθέντων καὶ ὁμοίων λεγομένων. D

43 ΑἸΆΝΤΕΙΟΣ ΓΈΛΩΣ: Ἐπὶ τῶν παραφρόνως γελώντων. Ὁ Αἴας γὰρ παραφροσύνην νοσήσας καὶ μανεὶς, διὰ τὸ προτιμηθῆναι τὸν Ὀδυσσέα εἰς τὴν τῶν Ἀχιλλείων ὅπλων κατοχὴν, κατὰ τῶν Ἑλλήνων ξιφήρης ὥρμησε· καὶ κατὰ τῶν βοσκημάτων προνοίᾳ θεῶν τραπεὶς, ὡς Ἀχαιοὺς ταῦτα φονεύει. Δύο δὲ [z] μεγίστους κριοὺς κατασχὼν, ὡς Ἀγαμέμνονα καὶ Μενέλαον δεσμεύσας ἐμάστιζε, καὶ κατεγέλα τούτων μαινόμενος. Ὕστερον δὲ σωφρονήσας, ἑαυτὸν κτείνει.

[p] βασίλεια] τὰ βασίλεια P.

[q] ἀπεστραμμένους] ἀπεστραμμένος P. F. Apoll.

[r] ἐπὶ Σερίφου] τῆς Σερίφου P. Apoll.

[s] Γοργόνος] Γοργόνης P.

[t] δὲ καὶ] δὲ om. P.

[u] δίσκον] τὸν δίσκον P. Apollod.

[x] ἔριφος ἐπὶ δώματος παίζει] Emendavi Græcum versum numeris, et Suidæ ἔριφος δ' ἐπὶ δώματα παίζει. SCHOTT.

[y] δ' ἐπὶ] δ' om. P. edd. vett. Mox δώματος edd. vett. cum MSS. Diogeniani I. 40. Sic ut edidit Schottus exhibet Erasmus II. 6, 10.

[z] Μεγίστους κριοὺς] Non *sues*, ut Erasmus reddidit, sed μεγίστους κριοὺς, ut Sophocles diserte in Ajace μαστιγοφόρῳ [237.] cujus Scholiastes non Agamemnonem et Menelaum, sed Ulyssem, Nestorem, aut Menelaum cædi a se Ajacem putasse refert. SCHOTT. His similia dedit H. Steph. ad Erasmi I. 7, 46.

44 [a]Ἄχρι κόρου: Παροιμία ἦν, ὅτι ἄχρι κόρου ἐκεῖνος [b]ἀναίσθητός ἐστιν· καὶ οὗτος ἄχρι κόρου ἐφενάκισεν. A

45 [c]Ἄειδε τὰ Τέλληνος: Ἐπὶ τῶν σκωπτικῶν τίθεται ἡ παροιμία. [d]Τέλλην γὰρ αὐλητὴς ἐγένετο καὶ μελῶν ποιητὴς, παίγνιά τε κατέλιπεν εὐρυθμότατα, καὶ χάριν ἔχοντα πλείστην καὶ σκώμματα κομψότατα. B

46 [e]Αἰθίοπα σμήχων: Ἐπὶ τῶν μάτην ἀνήνυτον ἔργον ἐπιτελούντων.

47 Αἰσώπειον αἷμα: Ἐπὶ τῶν δυσαπονίπτοις ὀνείδεσι καὶ κακοῖς συνεχομένων· [f]ἐπειδὴ τοῖς [[g]Δελφοῖς] ἀδίκως τὸν Αἴσωπον ἀνελοῦσιν ὠργίσθη τὸ δαιμόνιον. Καὶ διὰ τοῦτο τὴν Πυθίαν C
φασὶν ἀνῃρηκέναι αὐτοῖς, ἱλάσκεσθαι τὸ ἐπὶ Αἰσώπῳ μύσος. Οὕτω γὰρ θεοφιλὴς ἐγένετο ὁ Αἴσωπος, ὡς μυθεύεται αὐτὸν ἀναβιῶναι, ὡς [h]Τυνδάρεων, καὶ Ἡρακλῆν, καὶ Γλαῦκον.

[a] Ἄχρι κόρου] Suidas totidem verbis: sed nescio cur *ingurgitavit* ἐφενάκισεν hîc Cognatus reddidit, quod est *ludificari* atque *decipere*. Affine huic illud apud Julium Pollucem libro V. cap. 38. πέρα κόρου προελήλυθα, et ἄχρι χείλους. Ubi in textu γὰρ οὗτος, videtur scribendum ἢ οὗτος. SCHOTT.

[b] ἀναισθητός· ἔστιν γὰρ οὗτος ἄχρι κόρου] ἀναίσθητός ἐστι· καὶ οὗτος ἀ. κ. P. F. et sic voluisse videtur ed. Hag. sed compendio alieno usus est typographus.

[c] Ἄειδε τὰ Τέλληνος] Repetit Zenobius infra II. 15. Cujus etiam Diarchus Messenius meminerit. Meminit et in Apophthegmatis Epaminondæ Plutarch. [p. 193 F.] his verbis: Ἦν δὲ αὐλητὴς ὁ μὲν Τέλλις κάκιστος, ὁ δὲ Ἀντιγενίδας κάλλιστος. SCHOTT.

[d] Τέλλην] Vid. Ruhnkenii Ep. Crit. p. 118.

χηνότας καὶ πίνοντας ΚΕΣΤΡΕῖΣ ἔλεγον, ὡς λαιμάργους. Ἄλλοι δὲ φασὶ τὴν παροιμίαν ἐπὶ τῶν δικαιοπραγούντων μὲν, οὐδὲν δὲ πλέον ἐκ τῆς δικαιοσύνης [t]ἀποφερομένων. Ὁ γὰρ κεστρεὺς, τῶν ἄλλων ἰχθύων ἀλληλοφαγούντων, μόνος ἀπέχεται τῆς σαρκοφαγίας· νέμεται δὲ τὴν ἰλὺν ταλαιπωρῶν, ὡς φησὶν Ἀριστοτέλης B
Περὶ ζώων.

53 [u]ΚΙΛΊΚΙΟΣ ὈΛΕΘΡΟΣ: Οἱ Κίλικες λῃστείαις χρώμενοι, ἐπ' ὠμότητι διεβέβληντο. Καὶ οἱ Ἀττικοὶ δὲ τὰς πικρὰς τιμωρίας ΚΙΛΙΚΊΟΥΣ καλοῦσιν.

54 [x]ΚΑΛΛΙΚΤΡΊΩΝ ΠΛΕΊΟΥΣ: Οὕτως ἐν Συρακούσαις ἐκλήθησαν C
οἱ ἐπεισελθόντες [y]γεωμόροις, Καλλικύριοι. Ἔνθεν παροιμιωδῶς ἔλεγον, εἴ ποτε πλῆθος ἤθελον ἐμφῆναι, ὅτι πλείους ἦσαν τῶν Καλλικυρίων. Δοῦλοι δὲ ἦσαν οὗτοι, καὶ τοὺς κυρίους ἐξέβαλον. Ἡ δὲ αἰτία τῆς κλήσεως αὐτῶν, διὰ τὸ παντοδαποὺς εἰς τοῦτο συνελθεῖν, ὥστε [z]τοῖς κυρίοις ἐγκεῖσθαι. D

55 ΚΊΝΑΤΝΟΣ Ἡ ἘΝ ΠΡΏΡΑΙ ΣΕΛΊΣ: Παροιμιακόν. Οἱ γὰρ πολέμιοι τὴν πρώραν εὐθέως [a]ἐφάλλοντες κατέχουσι. ΣΕΛῚΣ δὲ ἡ καθέδρα.

56 ΚΌΡΑΞ [b]ὙΔΡΕΎΣΕΙ: Παροιμία ἐπὶ τῶν δυσχερῶς τινὸς τυγχανόντων. E

M. Terentius Varro. Margopoli περὶ ἀρχῶν, apud Nonium Marcellum in dict. COMEST: *Natura humanis omnia sunt paria. Qui pote plus, urget. Pisces ut sæpe minutos Magnu' comest, ut aves enecat accipiter.* SCHOTT. Vid. Eustath. Il. τ'. p. 1178, 1.

[t] ὑποφερομένων] ἀποφερομένων P.

[u] Κιλίκιος] Hesychius meminit: et Jurisconsulti *Isauricum*, quod in Cilicia, pro immani et crudeli dicunt. Vatican. autem sic explicat: Πονηρός. Πονηροὶ γὰρ οἱ Κίλικες· ἢ ὅτι οἱ Κίλικες λῃστείαις, &c. SCHOTT.

[x] Καλλικυρίων] Hæc mancipia Syracusanorum similia Lacedæmoniorum Helotibus, (quos ab Erasmo *captivos* hîc reddi equidem miror) Thessalorum Penestis, Cretensium Clarotis fuisse Suidas docet. SCHOTT.

[y] γεώμοροι] γεωμόροις Valckenærius ad Herodot. VII. 155. ἐπεισελθόντες pro ὑπεισελθόντες Hesychius.

[z] τοὺς κυρίους] τοῖς κυρίοις Valckenærius l. c.

[a] ἐφάλλοντες κατέχουσι] Vaticanus interjicit, εἰς τὰ πλοῖα. SCHOTT. ἐφαλλόμενοι Valckenærius.

[b] ὑδρεύσει] Ceteri ὑδρεύει legunt, sed non in eo positæ, quod aiunt, fortunæ sunt Græciæ. Fabulam de corvo recitat Ælianus libro I. Histor. Animalium, et Hyginus,

57 Καὶ κόρκορος ἐν λαχάνοις: Κόρκορον Πελοποννήσιοι φα- A
σὶν εἶναι λάχανόν [c]τι τῶν εὐτελῶν· διὸ καὶ ἡ παροιμία.

58 [d]Κοροίβου ἠλιθιώτερος: Εὐήθης καὶ μωρός. Ἐπὶ γὰρ
τοῦ μωραίνοντος ἔταττον τὸν Κόροιβον ἀπό τινος Κοροίβου μω-
ροῦ, ὃν οἴονται τὸν [e]Μύγδονος εἶναι παῖδα τοῦ Φρυγὸς, κατὰ τὰ
Τρωϊκὰ γενόμενον. Τινὲς δὲ τοῦτον ἀναίσθητον φασὶ γεγόνεναι, B
ὡς καὶ τὰ κύματα τῆς θαλάσσης ἀριθμεῖν.

59 [f]Κορυδέως εἰδεχθέστερος: Οὗτος ὁ Κορυδεὺς ἐπὶ δυσμορφίᾳ
ἐκωμῳδεῖτο, καὶ οἱ παῖδες αὐτοῦ. Ἕνα δὲ τῶν ἀρχαιοτάτων εἶναι
φασίν.

60 Κορώνη τὸν σκορπίον: Παροιμία ἐπὶ τῶν δυσχερέσι καὶ C
βλαβεροῖς [g]ἐπιχειρούντων· ἐλλειπτικὴ δέ ἐστι· λείπει γὰρ τὸ,

itemque Ovidius libro II. Fastorum, quo refert adagium Erasmus. SCHOTT.

[c] τὶ τῶν εὐτελῶν] Addit Vatic. ἄγριον οὕτω φασί· διὸ καὶ ἡ παροιμία. Κόρχορος etiam per χ in secunda syllaba, dicta hæc herba: qua de Theophrastus lib. VII. cap. 7. Hist. plantarum. Plinius Alexandrinam facit. At apud Aristophan. ἐν Σφηξὶ [v. 239.] Κἆθ' ἤψαμεν τοῦ κορχόρου. Piscis vilissimi nomen agnoscit interpres, uti et Suidas, atque Hesychius. Usum autem proverbii hoc loco quam Erasmus, felicius explicat Henricus Steph. quin et λαχάνοισιν legendo versum explebis anapæsticum dimetrum. SCHOTT.

[d] Κορύβου] Κόροιβος scribunt alii, in his Diogenianus cum diphthongo in secunda; quomodo et quemdam Maro nominat Æneid. II. ver. 341. ubi Servius Honoratus ab Euphorione poëta stultum inductum Corœbum scribit. Quod autem fluctus numerare conatus sit numerorum expers, auctor Lucianus in Amoribus, [c. 53.] et in Hermotimi extremo, et Eustathius Odyss. κ'. [p. 1669, 46.] Meminit Corœbi etiam in ποικίλῃ ἱστορ. Ælianus libro XIII. cap. 15. SCHOTT. Adde Lucian. Philopseud. c. 3. Κόρυβος scriptura ex prava pronuntiatione orta est.

[e] Μάγδωνος] Repone Μύγδονος. Euripid. Rhes. 539. Μύγδονος υἱόν φασι Κόροιβον.

[f] Κορυθέως] Variant hîc quoque in scriptura parœmiographi. Κορύδου enim Diogenianus habet, Κορυδέος Mich. Apostolius. Recte Vatican. cod. Κορυδέως, ut hinc quoque rustici illius *Corydonis* manasse appellatio videatur. Mox etiam integre præfert: Ἐπὶ δυσμορφίᾳ ἐκωμῳδεῖτο καὶ οὗτος καὶ οἱ παῖδες αὐτοῦ, ὧν ἕνα Ἀρχίστρατον εἶναι φασίν: quod interpretando sequi placuit. SCHOTT. Κορυδεὺς Hesychius.

[g] ἐπιχειρούντων] Vatic. pro ἐπιχειρούντων, ἐγχειρούντων habet. Huc lepidum pertinet Archiæ poëtæ (quem M. Tullius defendit) Epigramma lib. I. Ἀνθολ. εἰς δίκην. Quod Latine apponere in Græcarum litterarum rudium gratiam placuit: *Olim cum liquido volitaret in æthere corvus, Scorpius e*

ἥρπασε. Καὶ γὰρ ἁρπασθεὶς ὁ σκορπίος, οὐκ ἔλαττον ἔδρασεν, A ἐμβαλὼν τῷ κέντρῳ τὸν ἰὸν, ἥπερ ἔπαθε.

61 [h]Κουρήτων στόμα: Ἐδόκουν γὰρ εἶναι οὗτοι μάντεις· οἷον, Θεσπιῳδὸν στόμα.

62 [i]Κρητίζειν: Ἐπὶ τοῦ ψεύδεσθαι καὶ ἀπατᾶν ἔταττον τὴν λέξιν, καὶ φασὶν ἀπὸ τοῦ Ἰδομενέως τοῦ Κρητὸς τὴν παροιμίαν B διαδοθῆναι. [k]Λέγει γὰρ, διαφορᾶς ποτὲ γενομένης τοῖς ἐν Τροίᾳ Ἕλλησιν [l]περὶ τοῦ μείζονος, καὶ πάντων προθυμουμένων τὸν συναχθέντα χαλκὸν ἐν τῶν λαφύρων πρὸς ἑαυτοὺς ἀποφέρεσθαι, γενόμενον κριτὴν τὸν Ἰδομενέα, [m]καὶ λαβόντα παρ' αὐτῶν τὰς ἐνδεχομένας πίστεις ἐφ' ᾧ κατακολουθῆσαι τοῖς κριθησομένοις, ἀντὶ C πάντων τῶν ἀριστέων ἑαυτὸν προτάξαι. Διὸ λέγεσθαι τὸ Κρητίζειν.

63 [n]Κριὸς τροφεῖα ἀπέτισεν: Ἡ παροιμία ἐπὶ τῶν ἀχαρί-

terra prosilit; ille notat. Devolat, ut rapiat: verum hic tellure ruenti Tela repente citus fixit acuta pedi: Et vita orbavit. Sic quam prior ille parabat Infelix alii, rettulit inde necem. SCHOTT.

[h] Κουρήτων] Adagii meminit et Hesychius. Nota vel pueris Curetum Jovem in Creta educantium fabula. Mox legit Vatic. quasi alii adagium sic efferre sint soliti, Οἱ δὲ Θεσπιωδῶν στόμα. Suidas totidem verbis, sed Θεσπιωδὸν legit: *Vaticinum os.* SCHOTT.

[i] Κρητίζειν] Vatic. sic initio: Κρητίζειν ἐπὶ τῶν ψεύδεσθαι καὶ ἀπατᾷν εἰωθότων, &c. Affine huic, Πρὸς Κρῆτα κρητίζειν. Quo usus Plutarchus proverbio in vita Pauli Æmilii [p. 267 F.] iterumque in Lysandri [p. 444 D.] Πρὸς Κρῆτα δ' ἄρα, τὸ τοῦ λόγου, Κρητίζων ἠγνόει τὸν Φαρνάβαζον. Notus et Epimenidis Cretensis versus de Cretensibus, a sancto Paulo ad Titum Cretensium Episcopum cap. 1. ver. 12. citatus: Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί. Cujus principium est apud Callimachum Hymno in Jovem: ubi interpres: Παροιμία, inquit, ἐστὶ τὸ Κρητίζειν, ἐπὶ τοῦ ψεύδεσθαι, ἀπὸ Ἰδομενέως τοῦ Κρητὸς ῥηθεῖσα, &c. Naso: *non fingunt omnia Cretes.* Idomeneo vero, bello Trojano alia contentio cum Ajace Oileo, apud Homerum Iliados ψ'. Rursum alia apud Maronem III. Æneid. v. 401. et XI. Æn. v. 265. SCHOTT.

[k] Λέγει] λ' i. e. λέγουσι, vel λέγεται.

[l] περὶ τοῦ μείζονος] Mendi quid videtur subesse.

[m] λαβόντα] καὶ λαβόντα P. H.

[n] Κριὸς τροφεῖα] Simile huic illud apud Suidam, Κριοῦ διακονία: apud quem eadem repperi quæ hoc loco Vatican. præfert codex: Παροιμία ἐπὶ τῶν ἀχαρίστων. Καὶ γὰρ τοὺς κριοὺς ἐκτραφέντας κυρίττειν τοὺς θρεψαμένους· ὅ ἐστι κερατίζειν καὶ πλήττειν διὰ κεράτων. Καὶ ὅμοιον, Κριοῦ διακονία. Non dissimile quod de Aristotele erga Platonem præceptorem ingrato jactatum, ut Muli pullus diceretur, ex Æliani Variis lib. IV. cap. 9. Laërtio, Ammonio, et Helladio

στων, ἐπεὶ τὰς φάτνας πλήττουσιν οἱ κριοί. Λέγεται γὰρ ὡς A εἴρηται ἐπὶ τῶν ἀχαρίστων τοῖς εὖ προσδιατεθεῖσι, Κριὸς τὰ τροφεῖα. Καὶ γὰρ τοὺς κριοὺς ἐκτραφέντας τύπτειν τοὺς θρέψαντας καὶ ἔτι τρέφοντας. Μέμνηται αὐτῆς Μένανδρος.

64 [o]Κίσσαμις Κῷος: Οὗτος ἦν πολυθρέμματος· τούτῳ φασὶν ἔγχελυν ἐπιφαινομένην κατ' ἔτος τὸ κάλλιστον τῶν προβάτων B ἁρπάζειν, καὶ τὸν Κίσσαμιν ἀνελεῖν αὐτήν· φαινομένην δὲ αὐτῷ κατ' ὄναρ, κελεῦσαι καταθάψαι αὐτήν· τὸν δὲ μὴ φροντίσαντα, παγγενεὶ ἀπολέσθαι.

65 [p]Κανθάρου σοφώτερος: Ἡ παροιμία εἴρηται ἐπὶ τῶν πονηρῶν καὶ κακούργων· ἐπειδή τις Ἀθήνησι κάπηλος Κάνθαρος καλούμενος, ἐπὶ πονηρίᾳ καὶ προδοσίᾳ θανάτου ἐζημιώθη. C

66 [q]Κωφότερος κίχλης: Ταύτης Εὔβουλος ἐν Διονύσῳ μέμνηται. Φασὶ γὰρ κωφεύειν τὸ ζῶον.

67 Κέρδος αἰσχύνης ἄμεινον· ἔλκε μοιχὸν [r]εἰς μυχόν: Ταύτης μέμνηται [s]Καλλίας ἐν Ἀταλάντῃ. D

retuli in Vitis Parallelis Aristotelis ac Demosthenis, Olympiade CVII. an. 4. SCHOTT. Vid. Valcken. ad Eurip. Phœn. 44.

[o] Κίσσαμις] Mutila hîc Erasmi interpretatio, neque integre hæc reddidit. Quamobrem quid mirum si Delio egere natatore pronuntiarit? Lego itaque: Κίσσαμις Κῷος, et ἔγχελυν, et infra παγγενεὶ, etsi παγγενῆ editum etiam in Thesauro Henr. Stephani, ut recte in vita Mosis est apud Greg. Nyssenum. Sic dicimus πανδημεὶ, πανοικεὶ, πανβιδεί: quorum exempla passim obvia. SCHOTT. Κρίσσαμις Photius, qui infra παγγενεί.

[p] Κανθάρου] Desiderius ab animante scarabæo adagii originem repetit, quem aquilæ avium reginæ sic infestum esse, ut ova nido excutiat, vel ex Æsopico apologo, et e physicis notum. Vaticanus autem liber habet, εἰς θάνατον ἐδικάσθη. SCHOTT.

[q] Κωφότερος] Suidas ex hoc ipso Eubulo legit ἀφωνότερος κίχλης, quod verius putem, etsi garrula est avis et palato in deliciis. SCHOTT.

[r] εἰς μοιχὸν ἢ μυχόν] Locus haud dubie bis corruptus, ut nesciam quid in mentem Cognato venerit (Erasmus enim silentio talia præterit) reddenti: *Prodit mæchum et secessum.* SCHOTT. ἢ μύχον] ἐς μύχον Prov. Metr. v. 1217. εἰς μύχον Plutarchus n. 89. Et sic Valckenærius, et Meinekius Quæst. Scen. Sp. 2. p. 49. Qui Canterianum Ἀταλάντῃ probat. Ἀταλετῇ H.

[s] Καλλίας ἐν Ἀταλεστῇ] Theod. Canterus, homo doctissimus, tentabat ἐν Ἀταλάντῃ, sed quis Calliæ hoc drama laudet equidem ignoro. Veteris fortasse poetæ sit, quod huc minime pertineat, aut insignite depravatum sit necesse est. Παρανομασίαν in μοιχὸν καὶ μυχὸν agnosco. Refert quidem Diogenianus proverb. ut in

68 [t] ΚΩΦΌΤΕΡΟΣ ΤΟΥ͂ ΤΟΡΩΝΑΊΟΥ ΛΙΜΈΝΟΣ: *Λιμήν ἐστι* [u] *περὶ* A
Τορώνην τῆς Θρᾴκης· στενὰς δὲ ἔχει δύο μακρὰς τὰς ἀπὸ τοῦ
πελάγους [v] *κατάρσεις, ὡς μὴ ἀκούεσθαι τοῖς ἐν αὐτῷ τὸν τῆς*
θαλάττης ἦχον.

69 [w] ΚΡΩΒΎΛΟΥ ΖΕΥ͂ΓΟΣ: Π*αροιμία ἐπὶ τοῖς ὑπερβαλούσῃ πονη-*
ρίᾳ κεχρημένοις ταττομένη. Μ*ετενήνεκται δὲ ἀπὸ πορνοβοσκοῦ* B
τινὸς Κ*ρωβύλου, ἑταίρας κτησαμένου δύο, ὡς μὴ μόνον ἐπὶ ταύ-*
ταις πολλοὺς τῶν νέων λυμαίνεσθαι, ἀλλὰ καὶ ἐξ ὧν ἔκλεπτεν
ἐλυμαίνετο. Τ*οὺς οὖν ἴσους τῇ ἐκείνου πονηρίᾳ ὡς δύνασθαι*
συζευχθῆναι αὐτῷ ΚΡΩΒΎΛΟΥ [x] ΖΕΥ͂ΓΟΣ *ἔλεγον.* Ἢ *διὰ τὸ εἶναι*
δύο τὰς ἑταίρας. C

avaros impudentesque jactatum: et Suidas sollemne illud suum servat, ut veteris alicujus scriptoris verba, tacito tamen ejus nomine, adscribat, præterea nihil. Affine autem huic Vespasiani Aug. illud ad Titum: *Lucri bonus est odor ex re Qualibet*, a Satyrico etiam Juvenali relatum Sat. XIV. ver. 204. contra illud Hesiodeum: Μὴ *κακὰ κερδαίνειν· κακὰ κέρδεα ἶσ' ἄτῃσιν.* Plutarch. lib. De audiendis Poetis, [p. 21 A.] poetæ veteris, sed *ἀδήλου*, in hanc sententiam versus citat, et Sophoclis illud: Τὸ *κέρδος ἡδὺ, κ'ἂν ἀπὸ ψευδῶν ἔῃ.* Et Julii Cæsaris illud: *Si violandum est jus, regnandi causa violandum.* Denique Euripideum hoc in Hippolyto coronato [612.] Ἡ *γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.* SCHOTT.

[t] Κ*ωφότερον*] Refert et Suidas utrumque proverbium, Κ*ωφότερος κίχλης*, et Κ*ωφότερος τοῦ* Τ*ορωναίου λιμένος*: sed interpres Germanus permiscendo turbavit. Simile de Nili catadupis seu catarrhactis refert in somnio Scipionis M. Tullius, accolas ejus sonitu obsurduisse. Vatic. autem amplius hoc loco: Π*αρὰ* Τ*ορώνην τῆς* Θ*ράκης καλεῖται τὶς κωφὸς λιμήν.* Ε*ἴρηται δὲ ἡ παροιμία παρ' ὅσον ὁ ἐν* Τ*ορώνῃ τῆς* Θ*ράκης λιμήν.* Σ*τενὰς δὲ*, etc. Et statim *κατάρσεις* pro *καταρρεύσεις*, sed non placet. SCHOTT. Κ*ωφότερος* H.

[u] *ἐπὶ* Τ*ορώνῃ*] *περὶ* Τ*ορώνην* P. H.

[v] *καταρρεύσεις*] *κατάρσεις* B. cum Schotti Vaticano. *καθαιρέσεις* Plutarch. n. 91. Totum locum sic refingit Hemsterhusius ad Luciani Timon. T. I. p. 167. *ταινίας δὲ ἔχει δύο μακρὰς τὰς ἀπὸ τοῦ πελάγους καταιρούσας*, vel *καθηκούσας*, vel potius *κατατεινούσας*. De voce *κατάρσεις* vid. Wyttenbach. ad Plutarch. p. 162 A. Mox *τοὺς* edd.

[w] Κ*ροβύλου*] Κ*ροβύζου* in Suida constanter legas, nisi operarum *σφάλμα* est, interpretaturque ad eumdem prope modum, de scelere nimis arcte conjunctis. Vaticanæ vero membranæ Κ*ροβύλλου*, geminata λλ præferunt, adeo variatum sæpe in propriis nominibus. Additque idem codex: Ἐ*πὶ τῶν ὑπερβαλλούσῃ πονηρία χρωμένων.* Κ*ρόβυλλος γὰρ ἑταίρας δύο κτησάμενος πολλοὺς τῶν νέων δι' αὐτῶν ἐλυμαίνετο.* SCHOTT. Κ*ρωβύλου* B. cum Photio et Hesychio.

[x] *ζυγὸς*] *ζεῦγος* P.

70 [y] Κύδος: Λοιδορία, κακολογία. Καὶ Κυδάζειν, τὸ λοιδο- A
ρεῖν καὶ κακολογεῖν. Ἡ δὲ πρώτη συλλαβὴ βραχέως ἐκφέρε-
ται. Καὶ ὅταν λοιδορίαν ἐκτίσῃ τὶς ἐπὶ μηδενὶ ἀξίως συκοφαν-
τουμένοις, παροιμιωδῶς λέγεται Κύδους ἐκτετικέναι.

71 [z] Κυζικηνοὶ στατῆρες: Διεβεβόηντο οὗτοι ὡς εὖ κεχαραγ-
μένοι. Πρόσωπον δὲ ἦν γυναικεῖον ὁ τύπος Μητρὸς θεῶν· ἐπὶ δὲ B
θατέρου, προτομὴ λέοντος.

72 [a] Κυθωνύμου αἶσχος: Αἴσχιον κλέος ἔχοντος ἢ οὗ ἄν τις ἐπι-
κρύψῃ τὸ ὄνομα διὰ τὰς συμφορὰς καὶ τὰς πράξεις, ἢ δυσωνύμου,
ἢ περιβοητοῦ περὶ τὰς πράξεις, ἢ ἀξίου κεκρύφθαι.

73 [b] Κύων ἐπὶ δεσμά: Παροιμία ἐπὶ τῶν ἑαυτοὺς εἰς κολάσεις C
[c] ἐπιδιδόντων· καὶ, Βοῦς ἐπὶ δεσμά.

74 [d] Κῷος Χίῳ: Ὁ Κῷος ἀστράγαλος ἠδύνατο ἕξ. Παροιμία δέ
ἐστι Χῖος πρὸς Κῷον. Ὁ μὲν γὰρ Χῖος ἠδύνατο ἕν, ὁ δὲ Κῷος, ἕξ.

75 [e] Κωρυκαῖος ἠκροάζετο: Ταύτης [f] Μένανδρος μέμνηται ἐν

[y] Κύδος] Κύδος quoque Hesychio est κακολογία καὶ λοιδορία. Quidam accentu distinguunt κῦδος *gloriam*, et κύδος *convitium*. Aliter tamen Suidas. SCHOTT.

[z] Κυζικηνοὶ] Habet eadem Suidas, absunt tamen illa Μητρὸς θεῶν. SCHOTT.

[a] Κυθωνύμου] Hesych.: Κυθωνύμου: Αἰσχρὸν κλέος ἔχοντος, ἢ τοῦ ἄν τις ἐπικρύψειε τὸ ὄνομα διὰ τὰς συμφορὰς (καὶ) τὰς πράξεις, ἢ ἀξίου κεκρύφθαι. Suidas: Κευθωνύμου κλέος ἢ αἶσχος: Ἐστὶ τῶν αἴσχιον κλέος ἐχόντων, ἢ ὧν ἄν τις ἐπικρύψειε τὸ ὄνομα, ἢ δυσωνύμου.

[b] Κύων ἐπὶ δ.] Utrumque Hesychius adagium explicat. Vatic. autem habet codex: Εἰς κολάσεις ἐπιδιδόντων. Ὅμοια τῇ, Βοῦς ἐπὶ δεσμά. SCHOTT.

[c] ἐπιδόντων] ἐπιδιδόντων H. Suid. Hesych.

[d] Κῷος Χίῳ] Habet Hesychius et Suidas, sed in hoc corrupte arbitror legi ἔνδον, et ἔξω, pro ἓν et ἕξ, nata e compendiis, ut fit, menda. Latini unionem *canem* nominabant quem et Iones ὄνον appellarunt, vel οἴνας potius: ut supra adag. 23. hujus Centuriæ vidimus, monetque Pollux, *Coum* vero ἑξίτην, vel senionem. Persius Sat. III. *quid dexter senio ferret Scire erat in votis, damnosa canicula quantum Raderet.* Martialis: *Senio nec nostrum cum cane quassat ebur.* SCHOTT.

[e] Κωκυραῖος] Strabo XIV. p. 923=954. φασὶ δὲ τὸν παράπλουν τοῦ Κωρύκου πάντα λῃστήριον ὑπάρξαι τῶν Κωρυκαίων καλουμένων, εὑραμένων τρόπον καινὸν τῆς ἐπιβουλῆς τῶν πλοϊζομένων· κατεσπασμένους γὰρ ἐν τοῖς λιμέσι τοῖς καθορμιζομένοις ἐμπόροις προσφοιτᾶν, καὶ ὠτακουστεῖν τί φέροιεν, καὶ ποῦ πλέοιεν· εἶτα συνελθόντας ἀναχθεῖσι τοῖς ἀνθρώποις ἐπιτίθεσθαι καὶ καθαρπάζειν· ἀφ' οὗ δὴ πάντα τὸν πολυπράγμονα, καὶ κατακούειν ἐπιχειροῦντα τῶν λάθρα καὶ ἐν ἀπορρήτῳ διαλεγομένων, Κωρυκαῖον κα-

τῷ ᾿Εγχειριδίῳ. Πειραταὶ γὰρ περὶ Κώρυκον τῆς Παμφυλίας ἦσαν, καί τινες τῶν ἐκ Κωρύκου συμπράττοντες αὐτοῖς περιειργάζοντο τῶν πλεόντων τὰ φορτία, καὶ τὸν καιρὸν καθ' ὃν μέλλοιεν πλεῖν, καὶ τοῖς πειραταῖς ἐμήνυον. Τοῦτο μαθόντες οἱ ἔμποροι, ἔκρυπτον τὰ πολλά. ᾿Επεὶ δὲ καὶ οὕτω τοῖς πειραταῖς [g]ἐγεγόνει, ἐκράτησεν ἡ παροιμία ἐπὶ τῶν δοκούντων μὲν λάθρα πράττεσθαι, εἰς γνῶσιν δὲ ἐρχομένων. A B

76 [h]Καὶ σφάκελοι ποιοῦσιν ἀτέλειαν: Πεισίστρατος, ὥς φασιν, ὁ τύραννος δεκάτην τῶν γεωργουμένων ἀπῄτει τοὺς Ἀθηναίους. Παριὼν δέ ποτε, καὶ ἰδὼν πρεσβύτην πέτρας ἐργαζόμενον καὶ τόπους λιθώδεις, ἤρετο τὸν πρεσβύτην, τίνας ἐκ τῶν τόπων κομίζοιτο τοὺς καρπούς· ὁ δὲ ἀπεκρίνατο, ᾿Οδύνας καὶ σφακέλους, καὶ τούτων δεκάτην Πεισίστρατος φέρει. Θαυμάσας δὲ ὁ Πεισί- C

λοῦμεν· καὶ ἐν παροιμίᾳ φαμὲν, Τοῦ δ' ἄρ' ὁ Κωρυκαῖος ἠκροάζετο, ὅταν δοκῇ τις πράττειν δι' ἀπορρήτων ἢ λαλεῖν, μὴ λανθάνῃ δὲ διὰ τοὺς κατασκοποῦντας, καὶ φιλοπευστοῦντας τὰ μὴ προσήκοντα. Vid. Eustath. Od. ε'. p. 1534, 54.

[f] Μένανδρος] Hîc dubium Comicusne an Historicus laudetur. Equidem de hoc magis crediderim qui hæc narrarit. Suidas enim in Κώρυκος *Dexippum* utique historicum in *Thesauro*, et hîc in *Enchiridio Menandrum* citat. De loco *Coryci* varii varie. Strabo lib. XIV. Lydiæ montem facit, et proverbii meminit atque historiæ; sed cujus frustra lectionem Erasmus tentarit, tueturque H. Stephanus. Suidas cum Zenobio Pamphyliæ attribuit, sed promontorium ille, hic opidum portumque facit. Stephanus Byzantius περὶ πόλεων mire variat, montem, portum, insulam, et opidum, nunc Cretæ, nunc Ciliciæ agnoscens. Verum non procul Pamphylia Cilicia afuit. Affine autem huic adagium, quod Cebes Thebanus in humanæ vitæ Tabula extrema παροιμιωδῶς extulit, Τὸ Κωρύκιον ἄντρον ἔχει, *Corycium antrum incolit:* pro, Tutus non est a piratis, prædonibusque. Cum quibus enim Corycæi exploratores se conjunxerant spoliabantur a piratis, ipsi vero immunes abibant. Sed de hoc nos loco plura in libris *Observationum humanarum* disserimus, quæ hîc inculcari putidum foret. SCHOTT. Vid. Meinekii Fr. p. 56.

[g] ἐγεγόνει] Excidisse quid videtur. Fortasse φανερά.

[h] Καὶ σφάκελοι] Habet Suidas et Hesychius, quorum hic gravem quemvis dolorem σφάκελον significare ait. Medici vero Galenus, et Aëtius νέκρωσιν: ac de philosophis Theophrastus in Plantis *siderationem* facere videntur. Æschylus in Prometheo [877.] de gravi mentis emotione capit. Vatic. autem codex hîc legit: Καὶ δέποτε τόπους λιθώδεις, et statim, Πεισιστράτῳ φέρει. SCHOTT.

στρατος τὴν παρρησίαν αὐτοῦ τῆς δεκάτης ἀτέλειαν ἔδωκε. [i]Καὶ A
ἐκ τούτου οἱ Ἀθηναῖοι τῇ παροιμίᾳ ἐχρήσαντο.

77 Κύρβεις κακῶν: (Κύρβεις) καλοῦνται παρὰ τοῖς Ἀθηναίοις [k]σανίδες τρίγωνοι, ἐν αἷς τοὺς νόμους ἀνέγραφον, καὶ τὰς κατὰ τῶν ἀδικούντων τιμωρίας. Ἐπὶ τοίνυν τῶν σφόδρα πονηρευομένων ἡ παροιμία εἴρηται. B

78 [l]Κλαίει ὁ νικήσας, ὁ δὲ νικηθεὶς ἀπόλωλεν: Αὕτη παρῆλθεν ἐκ χρησμοῦ Σιβύλλης τῆς Ἐρυθραϊκῆς. Περὶ γὰρ Φιλίππου μαντευομένη, μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, τὸ ἔπος εἶπεν. Ἐπειδὴ οἱ μὲν Ἀθηναῖοι καὶ οἱ Θηβαῖοι ἡττηθέντες ἀπώλοντο, Φίλιππος δὲ νικήσας μετὰ τὴν μάχην, εὐθὺς ὑπὸ Παυσα- C
νίου διεφθάρη.

79 [m]Κοινὰ τὰ φίλων: Τίμαιος φησὶν ὅτι προσιόντας Πυθα-

i ἐκ τούτου] καὶ ἐκ τούτου P. H. Iidem mox τὴν παροιμίαν.

k σανίδες τρίγωνοι] *Triquetræ tabulæ.* Sic et Suidas. Non recte igitur Erasmus *quadras* reddidit. Apollonii interpres in lib. IV. [280.] Argonaut. Οἱ δὲ ἀκριβέστεροι ἄξονας μὲν τετραγώνους λίθους, κύρβεις δὲ τριγώνους. De utrisque Plutarchus in Solone, ex Aristotele: et Pollux libro VIII. Onomastici, et de vocibus Atticis Thomas Magister in dict. ἄξονες. Geminum autem proverbium supra, Ἰλιὰς κακῶν, et infra, Λέρνη κακῶν. SCHOTT. Addidi κύρβεις cum B.

l Κλαίει] Diogenianus cum Zenobio consentit, et placet. Video tamen invertere Chiliastem Batavum ac Jos. Scaligerum: Κλαίει ὁ νικηθεὶς, ὁ δὲ νικήσας ἀπόλωλεν. De Philippi cæde nos pluribus in Vitis comparatis Aristot. et Demosth. ad Olymp. CXI. anno 1. ubi et de altero eidem ab Apolline dato oraculo, e Gemisto Plethone lib. II. extremo Ἑλληνικῶν: Ἔστεπται μὲν ὁ ταῦρος, ἔχει τέλος, ἔστι δ' ὁ θύσων. Aliud item Apollinis Pythii oraculum huic non dissimile commemorat idem Pletho extr. lib. II. Παραλειπομένων: Τῆς ἐπὶ Θερμώδοντι μάχης ἀπάνευθε γενοίμην Αἰετὸς ἐν νεφέεσσι, καὶ ἠέρι θηήσασθαι. Κλαίει ὁ νικηθεὶς, ὁ δὲ νικήσας ἀπόλωλε. SCHOTT.

m Κοινὰ] Timæum citat et Laërtius auctorem, in Pythagora. Cicero quoque libro I. [c. 12.] de Legibus: *Unde,* inquit, *illa Pythagorica vox:* Τὰ τῶν φίλων κοινά? Amplius Agellius libro I. Noct. Attic. cap. 9. *Omnes,* inquit, *simul, qui a Pythagora in cohortem illam disciplinarum* (alii *discipulorum*; ego *disciplinæ* malim) *recepti erant, quod quisque familiæ pecuniæque habebant in medium dabant, et coibatur societas inseparabilis; tamquam illud fuerit antiquum consortium, quod in re* (leg. *jure*) *atque verbo Romano appellabatur* κοινόβιον. Porphyrius quoque Malchus in Pythagoræ vita de ejus auditoribus: Οὗτοι καὶ τὰς οὐσίας κοινὰς ἔθεντο. Et Iamblichus lib. I. cap. 30.

γόρᾳ μαθητὰς περὶ τὴν Ἰταλίαν ἔπειθεν ὁ φιλόσοφος κοινὰς τὰς A
οὐσίας ποιεῖσθαι. Ὅθεν εἰς παροιμίαν ἡ συμβουλὴ τοῦ Πυθαγόρα ἦλθεν.

80 Κέλμις ἐν σιδήρῳ: Αὕτη τάττεται ἐπὶ τῶν σφόδρα ἑαυτοῖς πιστευσάντων, ὅτι ἰσχυροὶ καὶ δυσχείρωτοι πεφύκασι. Κέλμις γὰρ [n] εἷς τῶν Ἰδαίων Δακτύλων τὴν μητέρα Ῥέαν ὑβρίσας, [o] καὶ B
μὴ ὑποδεξάμενος ὑπὸ τῶν [p] ἀδελφῶν [q] εὐμενῶς ἐν τῇ Ἴδῃ, ἀφ' οὗ ὁ στερεώτατος ἐγένετο σίδηρος. Μέμνηται τῆς ἱστορίας Σοφοκλῆς [r] ἐν Σατύροις.

81 [s] Κάκιον Βάβυς αὐλεῖ: Τάττουσι ταύτην ἐπὶ τῶν κατὰ τὸ

Κοινὰ γὰρ πᾶσι πάντα καὶ ταῦτα ἦν. Ἴδιον δὲ οὐδεὶς οὐδὲν ἐκέκτητο. Καὶ εἰ μὲν ἠρέσκετο τῇ κοινωνίᾳ, ἐχρῆτο τοῖς κοινοῖς κατὰ τὸ δικαιότατον. Id quoque, ut alia plurima, suum fecit Plato, qui et uxores voluit esse communes. Sed eam rerum omnium communionem refellit Lactantius Firmianus lib. III. a cap. 21. Fortunas etiam inter se communes habuisse Christianos initio nascentis ecclesiæ, cum Apostoli in commune conferrent omnia, Act. cap. ii. vers. 44. legimus. Adagium vero quis non habet? Plato lib. V. de Legibus [p. 739 C.] Aristoteles II. Polit. et IX. [8.] Ethicorum Nicom. Plutarchus περὶ φιλαδελφίας, [p. 490 E.] Euripides frequenter, Terentius in Adelphis, Cicero præterea 1. Offic. et noto Epigrammate Martialis lib. II. SCHOTT. Vid. Schol. Platon. p. 68. Eustath. Il. ε΄. p. 600. ι΄. 778, 15.

n εἷς τῶν Ἰδαίων δακτύλων] Depravate hîc excusum erat, ut et apud Cognatum, εἷς τῶν Ἰουδαίων δακτύλῳ, pro Ἰδαίων δακτύλων, etsi Vatican. vitiose ἰδέων. Et mox ἀδελφῶν reposui pro δελφῶν. Post paulo concinnius Vatic. Καὶ μὴ ὑποδεξάμενος εὐμενῶς ὑπὸ τῶν ἀδελφῶν ἐν τῇ Ἴδῃ. *Idæos Dactylos* recenset Apollonii Argonaut. enarrator ex auctore Phoronidis, (non, ut Erasmus credidit, Phoronide auctore) quem Hellanicum fuisse ex eodem Scholiaste lib. III. item et Athenæo lib. IX. conjicere licet, *Curetasque* fuisse eosdem et *Corybantas*. A digitorum paritate dici auctor Diodorus lib. V. Biblioth. et Strabo libro X. ubi et Sophoclem laudat, pluraque commemorat, quæ uterque Cælius, Rodig. et Calcagn. in Adversaria retulit. SCHOTT. De Idæis Dactylis vid. Wyttenbach. ad Plutarch. p. 85 B.

o καὶ μὴ—σίδηρος] Hæc valde mihi videntur corrupta. Plutarchus n. 11. habet tantum hæc: Κέλμις γάρ τις ἐν Ἴδῃ στερρότατον σίδηρον ἐργαζόμενος.

p ἀδελφῶν] δελφῶν H. F. ed. Brub.

q εὐμερῶς] εὐμενῶς P. H. F.

r ἐν Σατύροις] Excidit nomen fabulæ. Vid. fragm. ed. Dind. p. 335.

s Κάκιον Βάβυς] Proverbium explicat et Athenæus lib. XIV. [p. 624 B.] Δειπνοσ. emendante Desiderio semel iterumque, ubi Καὶ Κίων ἢ Βάβυς αὐλεῖ, pro Κάκιον ὁ Βάβυς reponit, et pro τὸ Βάβυος

χεῖρον ἀσκούντων. Φασὶ δὲ ὅτι ὁ Βάβυς ἀδελφὸς ἦν Μαρσύου, A
ὃν Ἀπόλλων ὑπερτενῆ κρεμάσας ἐκ πίτυος ἐξέδειρεν, ἐρίσαντα
αὐτῷ περὶ μουσικῆς. Βουλόμενος δὲ καὶ τὸν Βάβυν ἀνελεῖν,
Ἀθηνᾶς ὑποθεμένης, ὡς ἀφυῶς τῷ αὐλῷ χρᾶται, ἀφῆκεν αὐτόν.
Ὅθεν εἰς παροιμίαν προήχθη, ὅτι ΚΑΚΙΟΝ ΒΑΒΥΣ ΑΥΛΕΙ.

82 [t]ΚΑΚΟΥ ΚΟΡΑΚΟΣ ΚΑΚΟΝ ὨΟΝ: Τὴν παροιμίαν ταύτην οἱ μὲν B
ἀπὸ τοῦ πτηνοῦ ζώου φασὶν εἰρῆσθαι, ὅτι οὔτε αὐτὸς βρωτός ἐστι,
οὔτε τὸ ὠὸν [u]ὃ ἔχει. Οἱ δὲ, ἀπὸ Κόρακος τοῦ Συρακουσίου ῥή-
τορος, πρώτου διδάξαντος τέχνην ῥητορικήν. Ὑπὸ γὰρ τούτου,
ὥς φασὶ, μαθητὴς Τισίας ὀνόματι μισθὸν ἀπαιτούμενος, καὶ εἰσ-
αγόμενος εἰς τὸ δικαστήριον, εἶπε πρὸς τὸν Κόρακα, Εἰ μέν με C
νικήσειας, ὦ Κόραξ, οὐδὲν μεμάθηκα, καὶ οὐ λήψῃ τί· εἰ δ' ἡττη-
θήσῃ, οὐ κομιῇ τὸν μισθὸν ὡσαύτως. Θαυμάσαντες οὖν οἱ δικα-
σταὶ τὸ σόφισμα τοῦ νεανίσκου, ἐπεφώνησαν, ΚΑΚΟΥ ΚΟΡΑΚΟΣ
ΚΑΚΟΝ ὨΟΝ. Εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν πονηρῶν πονηρὰ
ποιούντων. D

83 [x]ΚΥΘΝΩΔΕΙΣ ΣΥΜΦΟΡΑΙ: Τοῦτο εἰς παροιμίαν ἦλθε διὰ τὰ
Κυθνίοις συμβάντα. Φησὶ γὰρ Ἀριστοτέλης οὕτως [y]κακῶς αὐ-
τοὺς διατεθῆναι ὑπὸ Ἀμφιτρύωνος, ὥστε τὰς μεγάλας συμφορὰς
Κυθνώδεις καλεῖσθαι.

84 [z]ΛΑΓΩΣ ΚΑΘΕΥΔΩΝ: Παροιμία ἐπὶ τῶν προσποιουμένων καθεύδειν. E

χορὸν, τοῦ Βάβυος χεῖρον. De Marsya nota fabula ex Ovidii Metamor. Diodoro, Æliano, et aliis. Eumque de pinu ab Apolline suspensum auctor Apollodorus lib. I. et Longus scriptor Atticus ποιμενικῶν lib. IV. Κρεμᾷ γέροντα ἄνθρωπον ἐκ μιᾶς πίτυος ὡς Μαρσύαν. Ad quem locum notat eruditissimus Jungermannus, aliis ἐκ φηγοῦ suspensum Marsyam, ut Nonno Dionys. lib. I. et Agathiæ lib. IV. SCHOTT.

t Κακοῦ κόρακος] Commemorantur eadem in Hermogenis Προλεγομένοις. Coracis autem et Tisiæ Siculorum, ut Rhetoricæ scriptorum antiquissimorum meminit Fabius lib. III. cap. 1. De *Protagora et Euathlo* gemina historia apud Agellium libro V. Noctium Atticarum capite 10. et Apuleium in Floridis. SCHOTT.

u ὃ ἔχει] Sic P. H. F. ἔχει ed. Brub. Utrumque om. Schottus.

x Κυθνώδεις] Κύθνος Cycladum una est insula Stephano Byzantio, e qua natum proverbium. SCHOTT.

y κακῷ] κακῶς P.

z Λαγὼς] Patentibus oculis dormire leporem physici aiunt, in his et Plinius libro XI. cap. 37. Affine igitur et illud: *Non omnibus dormio.* SCHOTT.

85 [a] ΛΑΓῺΣ ΤῸΝ ΠΕΡῚ ΤΩ͂Ν ΚΡΕΩ͂Ν ΤΡΈΧΩΝ: Δειλὸν ἄγαν τὸ A ζῶον· ὅθεν καὶ ὁ Ῥηγῖνος λαγὼς ἐλέχθη, καὶ γὰρ τοὺς Ῥηγίνους ἐπὶ δειλίᾳ ἐκωμῴδουν. Παροιμία δέ τις ἐστὶν, Ὁ ΛΑΓῺΣ ΤῸΝ ΠΕΡῚ ΤΩ͂Ν ΚΡΕΩ͂Ν ΤΡΈΧΕΙ, ἐπὶ τῶν διακινδυνευόντων ταῖς ψυχαῖς, καὶ διὰ τοῦτο καρτερῶς ἀγωνιζομένων, τασσομένη.

86 [b] ΛΈΡΝΗ ΚΑΚΩ͂Ν: Παροιμία τίς ἐστιν Ἀργολικὴ, ἣν ἀποδιο- B πομπούμενοι ἔλεγον. Τὰ γὰρ ἀποκαθάρματα εἰς τοῦτο τὸ χωρίον ἐνέβαλλον, διὰ τὸ σύμμικτον εἶναι καὶ παντοδαπὸν ὄχλον ἔχειν. Ἀκριβέστερον δ' ἄν τις τὴν παροιμίαν φαίη ἀπό τινος ἱστορίας [c] διαδεδόσθαι. Δαναὸς γὰρ ἱστορεῖται τὰς τῶν Αἰγυπτιαδῶν κεφαλὰς αὐτόθι καταθεῖναι· καὶ ἐξ ἐκείνου τοῦ παρανομήματος ἡ C παροιμία ἐλέχθη. Ἴσως δὲ καὶ εἰς ὕβριν αὐτῶν ὁ Δαναὸς ἐκελεύσατο ἐκεῖ τὰ καθάρσια βάλλεσθαι.

87 [d] ΛΕΥΚΗΠΑΤΊΑΣ: Κλέαρχος τῷ περὶ Βίων φησὶ συμβαίνειν τὶ περὶ τὸ ἧπαρ ἐπί τινων, ὃ δειλοὺς ποιεῖ· εἰρῆσθαι οὖν ἐπὶ [e] τῶν τοιούτων τὴν παροιμίαν. D

88 [f] ΛΕΣΒΊΩΝ ἌΞΙΑΝ: Παροιμία ἐπὶ τῶν ἀπράκτων.

89 [g] ΛΕΥΚῊ ΣΤΆΘΜΗ: Ἐπὶ τῶν μηδὲν συνιέντων ἡ παροιμία

[a] Λαγὼς τὸν περὶ] Allusit non raro Aristophanes: ut in Ranis [192.] δοῦλον οὐκ ἄγω Εἰ μὴ νεναυμάχηκε τὴν περὶ τῶν κρεῶν. Plutarchus quoque de leporis tractat natura libro De terrestrium et marinorum animantium prudentia. Articulus autem τὸν hîc παρέλκει, nec in Suida comparet. SCHOTT. Vid. Valcken. ad Herodot. VII. 57. Dedi δειλίᾳ pro δειλίαν cum Suida.

[b] Λέρνη] Strabo lib. VIII. [p. 538=570.] Argivorum et Mycenæorum lacum *Lernam* facit. Hesychius etiam geminum proverbium recenset Λέρνη θεατῶν, indeque Apostolius. De Danai historia supra in adagio, Ἄπληστος πίθος. Vatican. autem hîc duo conjungit: Λερναῖα χολὴ, καὶ Λέρνη κακῶν. Διὰ τὸ τὸν Δαναὸν ἐκεῖ τὰς τῶν Αἰγυπτιάδων κεφαλὰς καταθέσθαι. Ἢ ἀπὸ τῆς ὕδρας τῆς πολυκεφάλου ἐν αὐτῇ γινομένης. SCHOTT.

[c] διαδιδόσθαι] διαδεδόσθαι P.

[d] Λευκηπαχίας] Sic mendose in Obsopœana editione legitur, nec melius in Aldina [et F.] λευτηπαχίας. Legendum λευκηπατίας ut Erasmus et Scaliger; vel λευχηπατίας ut Suidas, ἀπὸ τοῦ λευκοῦ καὶ ἥπατος. Μελέαρχος, sed vitiose pro Κλέαρχος, codex Vatican. rectius vero sequentia: Φησὶ περὶ τὸ ἧπαρ τὶ συμβαίνειν ἐπί τινων, ὃ δειλοὺς τούτους ποιεῖ. Ἐπὶ τῶν τοιούτων εἴρηται ἡ παροιμία. Clearchum autem ἐν τῷ περὶ τῶν βίων, sæpe advocat Athenæus libro XII. Δειπνοσοφ. aliique. SCHOTT.

[e] τῶν τοιούτων] τούτων H.

[f] Λεσβίων] Vatican. ita, Λεσβίων ἄξια, καὶ Λέσβιος δεξιὰ, ἐπὶ τῶν ἀπραξίων ἀμφότεραι. SCHOTT.

[g] Λευκὴ στ.] Affine huic, Κατὰ

ἐλέγετο, ʽΕν [h]λευκῷ (λίθῳ) λευκὴ στάθμη. ʽΕν γὰρ τοῖς λευκοῖς λίθοις λευκαὶ στάθμαι οὐδὲν δύνανται δεικνύναι, καθάπερ ἡ διὰ τῆς μίλτου. Στάθμη δέ ἐστι σπάρτος τεκτονική. A

90 [i]Λαίθαργος κύων: ʽΟ προσσαίνων μὲν, λάθρα δὲ δάκνων. Καὶ τῶν ἵππων οἱ νωθροὶ, λαίθαργοι. Καὶ πάθος τὶ σὺν πυρετῷ.

91 Λήμνιον κακόν: Παροιμία, ἣν διαδοθῆναι φασὶν ἀπὸ τῶν B
παρανομηθέντων εἰς τοὺς ἄνδρας ἐν Λήμνῳ ὑπὸ τῶν γυναικῶν. [k]Ἢ διὰ τὸ τὰς ἁρπαγείσας ὑπὸ Πελασγῶν ἐκ τῆς Ἀττικῆς

στάθμην, *Ad amussim*. Theocritus in Heraclidis [XXV. 194.] Αὐτὸς γὰρ μάλα ῥεῖα κατὰ στάθμην ἐνόησας. *Factus ad amussim jamdudum certior*. Quæ verba male vertit Eobanus Hessus: *Factus es ad stabulum jam dudum certior*. Deceptus credo affinitate vocis σταθμοῦ καὶ στάθμης. SCHOTT. Schol. Platonis p. 89. Παροιμία, ἐπὶ τῶν ἄδηλα ἀδήλως σημειουμένων, καὶ τούτων μηδὲν συνιέντων. ʽΗ γὰρ ἐν τοῖς λευκοῖς λίθοις σταθμὴ λευκὴ οὐδὲν δύναται δεικνύναι, διὰ τὸ μὴ παραλλάττειν, καθάπερ ἡ διὰ τῆς μίλτου γιγνομένη, ὡς Σοφοκλῆς Κηδαλίωνι· Τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι Οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴ στάθμη. Ἔστι δὲ στάθμη σπάρτος τεκτονική. Ita MS. Bodl. Eustath. Il. ο΄. p. 1022. ult. Λευκὴ στάθμη, ἀντὶ τοῦ ἄδηλος στάθμη κατὰ Παυσανίαν. Οὐ γὰρ ἀκριβῶς διαφαίνει ὀρθότητα ἡ λευκὴ στάθμη. Διὸ κεῖσθαι ἡ παροιμία λέγεται ἐπὶ τῶν ἄδηλα ἀδήλοις σημειουμένων, ἢ ἐπὶ τῶν μηδὲν συνιέντων. Οἷον, τοῖς λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴν στάθμην. Καὶ ὅρα ὡς οὐ πάντη ἀσφαλῶς ἡ τοιαύτη γραφὴ ἔχει· ὡς γὰρ ἐν λευκῷ λίθῳ οὐκ ἄν τις τεκμήραιτο στάθμην λευκὴν, οὕτως οὐδ᾽ ἐν μέλανι μέλαιναν ἢ ἐν ἐρυθρῷ ἐρυθρᾶν κ. τ. λ. Vid. Heindorf. ad Platonis Charm. p. 58.

[h] λευκῷ] Adde quod excidit λίθῳ. Deinde l. ἡ διὰ pro ὁ διά.

[i] Λαίθαργος] Apparet Zenobium λήθαργον pro *veterno* legisse, ex iis quæ de equo ignavo subjicit. Repperi et in Herodiani Grammatici Fragmentis selectorum nominum Atticorum, λήθαργος κύων, ὁ κρύφα δάκνων. Phrynichus vero pro oblivioso, quem Athenienses antiqui ἐπιλήσμονα vocant, ex Menandro. Suidas etiam in λήθαργος, ut Zenobius. Alibi tamen hunc veteris alicujus poëtæ versum proverbialem explicat: Σαίνεις δάκνουσα καὶ κύων λαίθαργος εἶ. Ubi per αι scribit, quemadmodum et Eustathius in Odyss. [δ΄. p. 1492, 33.] Λαιθάργως δάκνοντας de obtrectatoribus. SCHOTT. λίθαργος P. hic et infra. λήθαργος F. Brub. et Suidas p. 2304 C. qui agnoscit Λαίθαργος p. 2276. cum Schol. Aristoph. Eq. 1028.

[k] ἢ διὰ τὸ τὰς] Priorem de Pelasgis historiam habes apud Herodotum in extrema Eratone [VI. 138.] et apud Euripidis Scholiastem in Hecuba [v. 887.] ubi et Didymum citat, ad illa tragici verba: Καὶ Λήμνον ἄρδην ἀρσένων ἐξῴκισαν. Meminit et Seneca tragicus in Agamemn. Ibidemque legendus Martinus Delrius noster. Alterum vero *Lemnia manu* totidem verbis Diogenianus recenset, atque Hesychius. Corrupta autem hic quædam ac perturbata. Fuit cum ita tenta-

γυναῖκας, εἰς Λῆμνον ἀπαχθῆναι· ἃς ἀποτεκούσας, τρόπους τε A
τῶν Ἀθηναίων διδάξαι τοὺς παῖδας καὶ γλῶτταν· τούτους δὲ τι-
μωρεῖν ἀλλήλοις, καὶ τῶν ἐκ τῶν Θρασσῶν γεγενημένων ἐπικρα-
τεῖν· τοὺς δὲ Πελασγοὺς ἐπὶ τούτῳ ἀχθομένους κτεῖναι αὐτοὺς
καὶ τὰς μητέρας αὐτῶν. [l]Ἢ διὰ τὴν δυσωδίαν τῶν Λημνιάδων
γυναικῶν τὴν παροιμίαν διαδοθῆναι. B

Λημνίαι χειρί: Ὠμῇ καὶ παρανόμῳ, ἀπὸ τῆς παροιμίας.

92 Λούσαιο τὸν Πελίαν: Αὕτη ἡ παροιμία προήχθη ἐκ τῶν
συμβεβηκότων τῷ Πελίᾳ· ὃν αἱ [m]θυγατέρες αὐτοῦ εἰς λέβητα
ζέοντα καθῆκαν, ἐξαπατηθεῖσαι ὑπὸ Μηδείας, ὡς νέον ποιήσουσαι,
καὶ οὕτως αὐτὸν δαπανηθέντα ἀπώλεσαν. Πελίας γὰρ Ἰωλκοῦ C
[n]ἐβασίλευσεν, ᾧ χρωμένῳ περὶ τῆς βασιλείας ἐθέσπισεν ὁ θεὸς
τὸν μονοσάνδαλον φυλάξασθαι. Τὸ μὲν οὖν πρῶτον ἠγνόει τὸν
χρησμὸν, αὖθις δὲ ὕστερον ἐπέγνω. Τελῶν γὰρ τῷ Ποσειδῶνι
θυσίαν, ἄλλους τε πολλοὺς ἐπὶ ταύτῃ καὶ τὸν Ἰάσονα μετεπέμ-
ψατο. Ὁ δὲ ἐν τοῖς χωρίοις διατελῶν, ἔσπευδεν ἐπὶ τὴν θυσίαν. D
Διαβαίνων δὲ ποταμὸν Ἄναυρον, ἐξῆλθε μονοσάνδαλος, τὸ ἕτερον
ἀπολέσας ἐν τῷ ὕδατι πέδιλον. Θεασάμενος δὲ Πελίας αὐτὸν,
καὶ τὸν χρησμὸν συμβαλὼν, ἠρώτα προσελθὼν, Τί ἂν ἐποίησας
ἐξουσίαν ἔχων, εἰ λόγιον ἦν σοι πρός τινος φονευθήσεσθαι τῶν πο-
λιτῶν. Ὁ δὲ, Τὸ χρυσόμαλλον δέρας, ἔφη, προσέταττον ἂν φέ- E
ρειν αὐτῷ. Τοῦτο Πελίας ἀκούσας, εὐθὺς ἐπὶ τὸ δέρας ἐλθεῖν

rem, nihil nos juvantibus membranis: ἀπὸ τῶν παρανομηθέντων τῶν ἀνδρῶν ἐν Λήμνῳ. [Frustra Schottum tentasse pronuntiat Albert. ad Hesych. Vide annotata ad Suidam.] Et statim pro ἐκ τῶν Θρασσῶν reponebam Πελασγῶν: [Πελασγίδων Herodot.] Sed eruditiores arbitrentur. Turbat certe Cognatus ita reddere conatus, *Manasse proverbium dicitur ab iis, qui maritos in Lemno a mulieribus abductos violaverant.* I nunc, et obviam esse facilemque omnem interpretandi rationem jacta. SCHOTT.

[l] Ἢ διὰ τὴν δυσωδίαν] Vid. Apollodor. I. 9, 17.

[m] θυγατέρες] Peliæ filiæ *Asteropea* et *Antinoë* nominantur a Pausania. Tertiam addit *Alcestidem* Diodorus Siculus, lib. IV. Biblioth. quæ mortis paternæ conscia minime fuerit. Historiam universam verius et uberius narrat idem Diodorus, et Apollonii interpres in Argonauticῶn Periocha; item Ovidius lib. VII. Metamorph. et alii. Infra, pro ἠδικήθη μετῆλθεν ἐθέλων, legendum arbitror μετελθεῖν. SCHOTT.

[n] ἐβασίλευσεν] ἐβασίλευεν P. H. Sed aoristum habet Apollodorus I. 9, 16.

ἐκέλευσεν αὐτόν. Τοῦτο δὲ ἐν Κόλχοις ἦν Ἄρεϊ ἀνατεθειμένον· A
ἐφρουρεῖτο δὲ ὑπὸ δράκοντος ἀΰπνου. Ἐπὶ τοῦτο πεμπόμενος
Ἰάσων, ναῦν κατεσκεύασε πεντηκόντορον, τὴν οὕτω κληθεῖσαν
Ἀργὼ, ἀπὸ τοῦ ταύτην τεκτηναμένου Ἄργου. Καὶ τοὺς ἀρίστους
τῆς Ἑλλάδος συναθροίσας, ἀπέπλευσε. [o]Καταλαβὼν δὲ εἰς
Κόλχους Αἰήτην παρεκάλει τὸν τῆς Κολχικῆς βασιλεύοντα γῆς B
δοῦναι τὸ δέρας αὐτῷ. Τοῦ δὲ ἀπαρνουμένου τὴν δόσιν, Μήδεια
ἡ τούτου θυγάτηρ ἔρωτα ἴσχει Ἰάσονος, καὶ αὐτῷ ἐπαγγέλλεται
τὸ δέρας ἐγχειρίσασθαι, εἰ ὀμόσει αὐτὴν ἕξειν γυναῖκα, καὶ εἰς
Ἑλλάδα σύμπλουν ἀγάγηται. Ὀμόσαντος δὲ Ἰάσονος, νυκτὸς
ἐπὶ τὸ δέρας Μήδεια τοῦτον ἤγαγε, καὶ τὸν φυλάσσοντα δράκοντα C
κατακοιμίσασα τοῖς φαρμάκοις, μετὰ Ἰάσονος ἔχουσα τὸ δέρας
ἐπὶ τὴν Ἀργὼ παραγίνεται. Συνείπετο δὲ [p]αὐτῇ καὶ ὁ ἀδελφὸς
Ἄψυρτος. Οἱ δὲ νυκτὸς μετὰ τούτων ἀνήχθησαν. Αἰήτης δὲ
ἐπιγνοὺς τὰ τῇ Μηδείᾳ τετολμημένα, ὥρμησε τὴν ναῦν διώκειν.
Ἰδοῦσα δὲ αὐτὸν πλησίον ὄντα Μήδεια, τὸν ἀδελφὸν φονεύει, καὶ D
μελίσασα, κατὰ τοῦ βυθοῦ ῥίπτει. Συναθροίζων δὲ Αἰήτης τὰ
τοῦ παιδὸς μέλη τῆς διώξεως ὑστέρησεν. [q]Ὑποστρέψας οὖν ὁ
Ἰάσων εἰς Ἰωλκὸν, τὸ μὲν δέρας Πελίᾳ δίδωσι, περὶ ὧν δὲ ἠδι-
κήθη μετελθεῖν ἐθέλων, παρεκάλει Μήδειαν ὅπως Πελίας αὐτῷ
δίκας ὑφέξει. Ἡ δὲ πείθει τὰς θυγατέρας αὐτοῦ τὸν πατέρα E
καθεψῆσαι, ὑποσχομένη ποιῆσαι νέον. Καὶ τοῦ πιστεῦσαι χάριν,
κριὸν μελίσασα, καὶ καθεψήσασα, ἐποίησεν ἄρνα. Αἱ δὲ πιστεύ-
σασαι, τὸν πατέρα εἰς λέβητα ζέοντα ἐμβαλοῦσαι, καθέψουσιν.

Ἐλούσαντο δὲ καὶ ἄλλοι πολλοὶ κακῶς. [r]Μέγα μὲν γὰρ

[o] Καταλαβὼν] Vid. Apollod. I. 9, 23.

[p] αὐτῇ καὶ] καὶ αὐτῇ H.

[q] Ὑποστρέψας] Vid. Apollod. ib. s. 27.

[r] Μέγα μὲν γὰρ] Vestigia sunt depravati nominis, pro Μάγαν γάρ. Sic enim Ptolemæi Philopatoris frater dictus *Maga*, quem corporis obesitate periisse Athenæus [XII. p. 550 B.] ex Anacharside [Agatharchide] prodit. De *Theogo* vero, nisi vitiatum nomen, nihil dum comperi. De Philopatore vide quæ notabamus adag. 94. Centuria III. Εὔνους ὁ σφάκτης. De Dædalo et Icaro idem Naso lib. VIII. Transformationum, et Diodorus libro IV. Pausanias in Achaicis, Tzetzes in Chiliadibus, et Servius in VI. Æneidos. SCHOTT. An pro Θεόγος l. Σωσίβιος?

τὸν τοῦ Φιλοπάτορος ἀδελφὸν ὁ Θεόγος λουόμενον καθήψησε, A
[s]ζέοντα λέβητα ἐπικλύσας αὐτῷ. [t]Μίνωι δὲ τῷ Κρητῶν βασι-
λεῖ αἱ Κωκάλου θυγατέρες ἐπέχεαν ζέουσαν πίσσαν. Δαίδαλον
γὰρ σὺν Ἰκάρῳ τῷ παιδὶ καθεῖρξε Μίνως ἐν τῷ Λαβυρίνθῳ, δι'
ὅπερ εἰργάσαντο [u]μύσος ἐπὶ τῷ τῆς Πασιφάης ἔρωτι τῷ πρὸς
τὸν ταῦρον. Ὁ δὲ πτερὰ κατασκευάσας ἑαυτῷ καὶ τῷ παιδὶ, B
ἐξῆλθε τοῦ Λαβυρίνθου, καὶ ἀναπτάμενος ἔφυγε σὺν Ἰκάρῳ. Ἰκά-
ρου μὲν οὖν μετεωρότερον φερομένου, καὶ τῆς κόλλης ὑπὸ τοῦ
ἡλίου τακείσης, αἱ πτέρυγες διελύθησαν. Καὶ οὗτος μὲν εἰς τὸ
ἀπ' ἐκείνου κληθὲν Ἰκάριον πέλαγος καταπίπτει, Δαίδαλος δὲ
διασώζεται. Ὁ Μίνως οὖν ἐδίωκε Δαίδαλον, καὶ καθ' ἑκάστην C
χώραν ἐρευνῶν [x]ἐκόμιζε κόχλον, καὶ πολὺν ὑπισχνεῖτο δοῦναι
μισθὸν τῷ διὰ τοῦ κοχλίου λίνον [y]διείραντι, διὰ τούτου νομίζων
εὑρήσειν Δαίδαλον. Ἐλθὼν δὲ εἰς Κώκαλον, παρ' ᾧ Δαίδαλος
ἐκρύπτετο, δείκνυσι τὸν κοχλίαν. Ὁ δὲ λαβὼν, ἐπηγγέλλετο
[z]διείρειν, καὶ Δαιδάλῳ δίδωσιν· ὁ δὲ ἐξάψας μύρμηκος λίνον, καὶ D
τρήσας τὸν κοχλίαν, εἴασε δι' αὐτοῦ διελθεῖν. Λαβὼν δὲ Μίνως
τὸν λίνον διειρμένον, ᾔσθετο εἶναι παρ' ἐκείνῳ τὸν Δαίδαλον, καὶ
εὐθέως ἀπῄτει. Κώκαλος δὲ ὑποσχόμενος δώσειν, ἐξένισεν αὐτόν.
Ὁ δὲ λουσάμενος ὑπὸ τῶν Κωκάλου θυγατέρων ἀνῃρέθη, ζέουσαν
πίσσαν ἐπιχεαμένων αὐτῷ. E

93. ΛΙΜΟΥ ΠΕΔΙΟΝ: Αὕτη τάττεται ἐπὶ τῶν ὑπὸ λιμοῦ πιεζομέ-
νων πόλεων· τόπος γάρ ἐστιν οὕτω καλούμενος. Καὶ λέγουσιν
ὅτι λιμοῦ ποτὲ κατασχόντος, ἔχρησεν ὁ θεὸς [a]ἱκετηρίαν θέσθαι,

[s] ζέοντα λέβητα] ζεόντας λέβητας P.

[t] Μίνῳ] Vid. Casaub. ad Athen. I. p. 10 E.

[u] μίσος] μύσος P. v. supra n. 6. Tum rectius εἰργάσατο.

[x] ἐκόμιζε κόχλον] De hoc et quid sibi velit ampliandum censeo, et, Non liquere, mihi quidem, pronuntio. In fabulis enim poeticisque narrationibus nulla constantia. SCHOTT.

[y] διείξαντι] Corr. διείραντι. *Qui per cochleam filum lineum transjiceret—putans se ita deprehensurum Dædalum*. VALCK.

[z] διέρξειν] Leg. διείρειν. VALCK. Qui mox διειρμένον pro διειργασμένον.

[a] ἱκέτειαν] ἱκετείαν P. vocem om. H. Sed recte Valckenærius ἱκετηρίαν. Lex. Seg. apud Bekker. p. 278. Λιμοῦ πεδίον: ὄνομα τόπου. Ἡ δὲ ἱστορία αὕτη. Ἀφορίας γενομένης πεδίον κατὰ χρησμὸν ἀνέθεσαν

καὶ τὸν Λιμὸν ἐξιλεώσασθαι. Οἱ δὲ Ἀθηναῖοι ἀνῆκαν αὐτῷ τὸ A ὄπισθεν τοῦ πρυτανείου [b]πεδίον.

94 [c]Λιμῶι Μηλίωι: Παροιμία· ἐπεὶ Ἀθηναῖοι ἐκάκωσαν Μηλίους πολιορκοῦντες ἐν λιμῷ, ὡς Θουκυδίδης ἐν τῇ ε.

95 Λίνδιοι τὴν θυσίαν: Παροιμία ἐπὶ τῶν δυσφήμως ἱερουργούντων. Ἀπὸ Ἡρακλέους ἐν Λίνδῳ βοῦν [d]ἀποσπάσαντος γεωρ- B γοῦ, καὶ θοινησαμένου, τοῦ δὲ γεωργοῦ [e]λοιδορουμένου αὐτόν. Ὅθεν καὶ Λίνδιοι κατὰ χρησμὸν οὕτω θύουσιν Ἡρακλεῖ λοιδορούμενοι.

96 [f]Λίνον λίνωι συνάπτεις: Παροιμία ἐπὶ τῶν τὰ αὐτὰ πρασσόντων. C

97 [g]Λοκρῶν σύνθημα: Παροιμία· τάττεται δὲ ἐπὶ τῶν παρα-

τῇ εἰρεσιώνῃ, ὃν καταφεύγοντα ταῖς πλατάνοις ἀπὸ τοῦ συμβεβηκότος λιμοῦ πεδίον ἐκάλεσαν. In his ὃν καταφεύγοντα etc. emendatione indigent.

[b] πεδίλου] Legisse Schottum πεδίον ex versione probabile est. Et sic citat Meursius Ath. Att. III. 7. p. 159. tanquam ex Apostolio.

[c] Λιμῷ Μηλίῳ] Suidas, λιμὸς Μηλιαῖος: aliamque habet de Nicia duce historiam, subjicitque et hanc Zenobii. Aristoph. in Avibus [186.] Τοὺς δ' αὖ θεοὺς ἀπολεῖτε λιμῷ Μηλίῳ. Thucydides vero de legationibus ultro citroque missis lib. V. Adjicit vero Vatic. Οἱ δὲ Μήλιοι πολιορκούμενοι λιμῷ ὑπὸ Ἀθηναίων ἐπιέσθησαν καὶ προδεδώκασιν ἑαυτούς. *Melus* autem una e Cycladibus Cretæ vicina, Diagoræ philosophi patria, teste Stephano. SCHOTT.

[d] ἀποσπάσαντος] ἐπισπάσαντος H.

[e] λοιδορουμένου αὐτὸν] Vatican. addit: ἔθος ἔσχον Ἡρακλεῖ λοιδορεῖσθαι. Ὅθεν καὶ Λίνδιοι, &c. Historiam de Hercule Lindii agricolæ boves per nefas mactante refert diserte lib. I. Institut. divinarum Lactantius, Philostratus Iconum lib. II. et Conon apud Photium Narrat. XI. Allusit et Nazianzenus Invectiva in Julianum altera, interprete Billio: *Ubinam ut apud Lindios Buthænam execrari ac diris devovere pium habetur: sicque Deus ille optime colitur, si convitia in eum et maledicta conjiciantur.* Ubi Elias Scholiastes Gr. *Buthænam* Herculem exponit. SCHOTT.

[f] Λίνον λίνῳ] Suidas ἐπὶ τῶν τὰ ὅμοια ἐπιμιγνύντων, *in eos qui similia commiscent.* Utitur Aristoteles lib. III. [c. 6.] Φυσικ. ἀκροάσεως, Plato in Euthydemo, [p. 298 C.] et in eum locum Proclus. SCHOTT. Vid. Schol. Platon. p. 98. Aristid. p. 501. Heindorf. ad Plat. Euthyd. p. 389.

[g] Λοκρῶν] Eadem Eustathius in Homeri Bœotiam [p. 275.] Historiam de Siculis et Locrensibus refert e Polybio, et Polyæno lib. VI. Paul. Leopardus Miscellan. lib. V. cap. 4. E Suida autem παρακρουομένων reposuimus. [Scil. παρακουομένων edd. F. Brub.] Illa vero ἀναβιβάζει δὲ τοὺς χρόνους, quasi huc minime pertinentia omisit Erasmus et Leopardus. Reddit Cognatus: *imponit vero temporibus.* Vide inf. Λοκροὶ τὰς συνθήκας. SCHOTT.

κρουομένων. Λοκροὶ γὰρ τὰς συνθήκας πρὸς [h]τοὺς Πελοποννη- A
σίους προδόντες, μετὰ τῶν Ἡρακλειδῶν ἐγένοντο. Ἀναβιβάζει δὲ τοὺς χρόνους. Οἱ δὲ, ὅτι τοὺς Σικελοὺς ἠπάτησαν παραλογισάμενοι.

98 [i]Λυδὸς τὴν θύραν [k]ἔκλεισεν: Παροιμία ἐπὶ τῶν μωροκλεπτῶν. B

99 [l]Λυκεῖον ποτόν: Ἤτοι ἀπὸ κρήνης [m]τῆς ἀπὸ Ἀπόλλωνος ἐτίθει, καὶ τόπου. Προπερισπωμένως δέ. Ἦσαν δὲ [n]αἱ ἀναδοθεῖσαι κρῆναι, ἡ μὲν οἴνου, ἡ δὲ μέλιτος, ἐν αἷς συνέβαινε τὰ πτηνὰ προσίζειν καὶ τοξεύεσθαι.

100 [o]Λύκος περὶ φρέαρ χορεύει: Παροιμία ἐπὶ τῶν ἀσχολου- C
μένων περί τι μάτην. Καὶ γὰρ ὁ λύκος ἄπρακτος περίεισιν, ὅταν διψήσῃ, μὴ δυνάμενος δὲ πιεῖν, τὸ φρέαρ περιέρχεται. Ἀλλὰ καὶ διώκοντος αὐτοῦ τι, ἐὰν τὸ διωκόμενον ἐμπέσῃ εἰς φρέαρ, περίεισι καὶ τηνικαῦτα τὸ φρέαρ, μηδὲν ἀνύων.

V. 1 [p]Λυδὸς καπηλεύει: Φασὶ[q] Κύρον περιγενόμενον τῶν Λυδῶν D
προστάξαι αὐτοῖς καπηλεύειν, καὶ μὴ κεκτῆσθαι ὅπλον, ἀλλὰ πο-

h τοὺς Πελοπ.] τοὺς om. P.

i Λυδὸς τὴν] Eadem Hesychius. Verum suspecta mihi vox ἔκλεισεν: quo fit, ut Erasmo assentiar, qui Suidæ auctoritate tentat ἐνέγκλεισε, pro *movit* sive *tentavit*, quod furum proprium est, idemque aliam adagii originem comminiscitur. Adfert Plutarchus adversus Colotem [1108 D.] Ἐμοὶ δὲ δοκεῖ καθάπερ ὁ Λυδὸς ἐφ' αὑτὸν ἀνοίγειν οὐ θύραν μίαν, ἀλλὰ ταῖς πλείσταις τῶν ἀποριῶν καὶ μεγίσταις περιβάλλειν τὸν Ἐπίκουρον. SCHOTT.

k ἔκλεισεν] ἐκίγκλισε Hesychius, cui hanc lect. acceptam refert Erasmus II. 7, 93. a Schotto compilatus.

l Λυκεῖον] Suidas hæc aliter exscripsit: Ἤτοι ἀπὸ κρήνης τῆς ἀπὸ Ἀπόλλωνος εὑρεθείσης ὑπὸ λύκων πινομένης, ἀπὸ οἴνου καὶ μέλιτος. Idem tradit Λύκειον, prima acuta, gymnasium Athenis a Pisistrato vel Pericle constructum esse. SCHOTT.

m τῆς ἀπὸ Ἀπόλλωνος ἐτίθει] Hæc sensu carent. Supplendum forte et emendandum ex Hesychio et Suida, τῆς εὑρεθείσης ὑπὸ Ἀπόλλωνος ὑπὸ λύκων πινομένης. Quod si in ἐτίθει latet ἐπίθετον, pergendum forte cum B. 612. ἢ Λύκειος Ἀπόλλωνος ἐπίθετον, καὶ τόπος etc.

n ἀναδοθεῖσαι] αἱ ἀναδ. P.

o Λύκος περὶ] Adhibet Plutarchus libro Quomodo possit adulator ab amico discerni [p. 68 A.] Refert Diogenianus et Suidas. SCHOTT.

p Λυδὸς καπηλεύει] Herodotus lib. I. [c. 94. quem perperam cepit Schottus] Lydos principes caupones fuisse refert, et Hesychius *ludos* Romæ a *Lydis* dictos. Suidas etiam λυδιάζειν, *Lydorum more vivere* dixit. Extremo adjicit Vatic. εἰς στρατείαν εἶεν ἄχρηστοι. SCHOTT.

q Κύρον] Ex Crœsi scil. consilio. Vid. Herodot. I. 155.

δήρεις ἀμφιέννυσθαι χιτῶνας· καὶ οὕτως εἰς θῆλυ μᾶλλον μεταρρυθμισθέντας τοὺς Λυδοὺς, ἀγοραίους γενέσθαι καπήλους. A

2 [r]Λύκου δεκάς: Παροιμιῶδες. Ἐπειδὴ Λύκος ὁ ἥρως πρὸς τοῖς ἐν Ἀθηναίοις δικαστηρίοις ἵδρυτο, τοῦ θηρίου τὴν μορφὴν ἔχων. Ἔνθα οἱ δωροδοκοῦντες [s]καὶ συκοφάνται κατὰ δέκα γενόμενοι συνεστρέφοντο. Ἀφώριστο δὲ αὐτῷ τριώβολον τῆς ἡμέρας. B

3 Λυδῶν καρύκας: Παροιμία,

Μήτε [t]μοι Λυδῶν καρύκας, μήτε μαστίγων ψόφους.

Ἔστι δὲ ἡ καρύκη βρῶμα Λύδιον ἐκ πολλῶν ἡδυσμάτων συνεστὸς καὶ αἵματος. Ὡς Φερεκράτης,

[u]Ἀβυρτάκην τρίψαντα καὶ Λυδίαν καρύκην. C

4 [x]Λοκροὶ τὰς συνθήκας: Παρὰ Λοκροῖς τοῖς Ἐπιζεφυρίοις, ὡς φασὶν, ἐγένετο Ζάλευκος νομοθέτης· ὃς νόμον ἔθηκε, συγγραφὴν ἐπὶ τῶν δανεισμάτων μὴ γίνεσθαι. Ὅθεν πολλῶν ἀρνουμένων τὰ συναλλάγματα, ἐπὶ τῶν ψευδομένων ἡ παροιμία ἐκράτησεν.

5 [y]Λοκρικὸς βοῦς: Ἐπὶ τῶν εὐτελῶν ἡ παροιμία τέτακται. D Οἱ Λοκροὶ γὰρ ἀποροῦντες ποτὲ βοὸς πρὸς δημοτελῆ θυσίαν, σικύοις ὑποθέντες ξύλα μικρὰ, καὶ σχηματίσαντες βοῦν, οὕτω τὸ θεῖον ἐθεράπευσαν.

6 [z]Λόγοισιν Ἑρμόδωρος ἐμπορεύεται: Ὁ Ἑρμόδωρος

[r] Λύκου δεκάς] Meminit Aristophanes ἐν Σφηξί· [815.] Θηρῷον εἴ πως ἐκκομίσας τὸ τοῦ Λύκου. Hesych. quoque, et bis Suidas continenter. SCHOTT. Schol. Aristoph. Vesp. 388. Παρὰ τοῖς δικαστηρίοις τὸ τοῦ Λύκου ἱερὸν ἦν καὶ ἡρῷον. Ὅθεν φασὶν εἰρῆσθαι Λύκου δεκάς.—Λύκου ἡρῷον πρὸς τῷ δικαστηρίῳ ἦν, ᾧ ἐμέριζον, ὅτε δικαστήρια ἦν, τὸν παρὰ τοῖς λαχοῦσι τῶν Ἀθηναίων δικάζειν δικαστικὸν μισθὸν τριώβολον. Zenobius sua hausit ex Eratosthene. Vid. Harpocrat. v. Δεκάζων.

[s] καὶ] οἱ P. F. Brub.

[t] μοι adscivi ex B. mox συνεστὼς F.

[u] ἀβυρτάκην] Vitiose et hîc ἀμυρτάκην editum erat. Rectius in Suidæ Collectaneis ἀβυρτάκην. Ansa mendi librario objecta ex affinitate veteris scripturæ litteræ *u* et *μ*. quomodo loca depravata plurima supra admonere memini. Atque hinc factum arbitror, extrema hæc ut corrupta ab Erasmo esse prætermissa. De *Carycis* pro juglandum ac nucum genere nos in Humanarum Observ. libris. SCHOTT. ἀβυρτάκην B.

[x] Λοκροὶ] Affine huic supra adag. 97. Λοκρῶν σύνθημα. De Zaleuco eadem sup. Cent. IV. adag. 10. Ζαλεύκου νόμος. Et Val. Maximus lib. VI. cap. 5. SCHOTT.

[y] Λοκρικὸς] Est et apud Diogenianum. SCHOTT. Mox ἀποθέντες vulg.

[z] Λόγους] Respexit huc Cicero lib. XIII. Epistola 21. ad Atti-

ἀκροατὴς γέγονε Πλάτωνος, καὶ τοὺς ὑπ' [a]αὐτοῦ συντεθειμένους A
λογισμοὺς κομίζων εἰς Σικελίαν, ἐπώλει. Εἴρηται οὖν διὰ τοῦτο
ἡ παροιμία.

7 ΜΑΣΧΑΛΗΝ ΑΙΡΕΙΝ: Ἀντὶ τοῦ κωθωνίζεσθαι καὶ πίνειν.
[b]Κρατῖνος,

Ὡς ἄνω τὴν [c]μασχάλην αἴρειν B

καταμωκωμένους ταῖς χερσίν. Οἷόν ἐστι τὸ παρ' Ὁμήρῳ,

Χεῖρας ἀνασχόμενοι.

8 [d]ΜΕΓΑΡΕΩΝ ΔΑΚΡΥΑ: Αὕτη τέτακται ἐπὶ τῶν πρὸς βίαν δακρυόντων, καὶ μὴ ἐπὶ οἰκείῳ πάθει. Λέγουσι γὰρ, [e]Βάκχιον τινὰ Κορίνθιον γῆμαι τὴν Κλυτίου τοῦ Μεγαρέων βασιλέως θυγατέρα· C
ἧς ἀποθανούσης, ἀναγκασθῆναι τοὺς Μεγαρέας ὑπὸ τοῦ Κλυτίου [f]πέμπειν(ν̄) παρθένους καὶ ἠϊθέους εἰς Κόρινθον τοὺς μέλλοντας αὐτοῦ τὴν θυγατέρα καταθρηνήσειν. Οἱ δὲ φασὶν, ὅτι πλεῖστα δοκεῖ φύεσθαι ἐν τῇ Μεγαρέων σκόροδα· ἔνθεν τὴν παροιμίαν εἰρῆσθαι ἐπὶ τῶν προσποιητῶς δακρυόντων, παρ' ὅσον οἱ ἐμπιπλάμε- D
νοι τῶν σκορόδων ἀποδακρύουσι συνεχῶς ὑπὸ τῆς δριμύτητος.

cum: *Dic mihi, placetne tibi primum edere injussu meo? Hoc ne Hermodorus quidem faciebat, is qui Platonis libros solitus est divulgare, ex quo* λόγοισιν Ἑρμόδωρος. Suidas Zenobium iterum exscripsit. SCHOTT. λόγοισιν B.

[a] αὐτῷ] αὐτοῦ P.

[b] Κρατῖνος] Vid. Fragm. apud Runkel. n. 45. p. 82.

[c] Μασχάλην] Rectius Vaticanæ membranæ: Κρατῖνος, ἄνω τὴν μασχάλην αἴρεις, ἀντὶ τοῦ κωθωνίζῃ. Proverbium habet Julius Pollux libro VI. Onomastici cap. iii. Suidas, et Hesychius, qui Cratini hunc versum ἄδηλον citat, sed aliter paulo: Ὡς ἄνω τὴν μασχάλην αἴρωμεν ἐμπεπτωκότες [ἐμπεπωκότες]. Additque fere: Ἐν τῷ μεθύειν αἴρειν ἄνω τὴν μασχάλην ἔθος τοὺς κωθωνιζόντας, καὶ καταμωκωμένους ταῖς χερσίν. Homeri locus est Odyss. σ'. vers. 99. Χεῖρας ἀνασχόμενοι, γέλῳ ἔκθανον. Male vero apud Pollucem Χεῖρας ἀνίσχοντες. Stratonicus citharœdus apud Athenæum libro VIII. [p. 351 C.] Βυζάντιον μασχάλην τῆς Ἑλλάδος nominat, quia emporium Græciæ. Nam de voce μασχάλη Hesychius et alii. Aliam etiam originem adfert Michaël Apostolius proverb. Μασχαλισθήσῃ ποτέ; ex Suida dict. μασχαλίσματα. SCHOTT.

[d] Μεγαρέων] Priorem proverbii originem, etsi aliter paulo, Diogenianus quoque commemorat. Alteram vero de alliis Suidas: quo pertineat et illud, Κρόμμυα ἐσθίειν, *cepas edere*. De quo Biantis dictum apud Laërtium. SCHOTT.

[e] Βάκχιον] Lex. Seg. p. 281. βασιλεὺς ἀπὸ τῶν Βακχιαδῶν.

[f] πέμπειν] Adde ν̄. Lex. Seg. πεντήκοντα κοῦροι καὶ κοῦραι.

Ὅθεν τὰ μὴ ἐκ παθῶν, μὴ δὲ ἐκ βάθους δάκρυα, ἀλλ' ἐξ ἐπιπολῆς, ΜΕΓΑΡΈΩΝ ΔΆΚΡΥΑ ἔλεγον. A

9 [g]ΜΕΤᾺ ΛΈΣΒΙΟΝ [h]ὨΙΔΌΝ: Παροιμία ταττομένη [i]ἐπὶ τοῖς τὰ δεύτερα φερομένοις, ἐξ αἰτίας τοιᾶσδε· Λακεδαιμόνιοι στασιάζοντες μετεπέμψαντο κατὰ χρησμὸν τοῦ θεοῦ ἐκ Λέσβου τὸν μουσικὸν Τέρπανδρον. Ἐλθὼν δὲ ἐκεῖνος, καὶ τῇ μουσικῇ χρώμενος, B ἥρμοσεν αὐτῶν τὰς ψυχὰς, καὶ τὴν στάσιν ἔπαυσεν. Εἴ ποτε οὖν μετὰ ταῦτα μουσικοῦ τινὸς ἤκουον οἱ Λακεδαιμόνιοι, ἐπεφώνουν,

Μετὰ Λέσβιον ᾠδόν.

Μέμνηται τῆς παροιμίας ταύτης Κρατῖνος ἐν [j]Χείρωνι.

10 [k]ΜῊ ΣΎ ΓΕ ΜΕΛΑΜΠΎΓΟΥ ΤΎΧΟΙΣ: Μή τινος ἀνδρείου καὶ C

[g] Μετὰ Λέσβιον ᾠδὴν] Suidas, ex eoque Erasmus, μετὰ Λέσβιον ᾠδὸν legit. Malui ἀοιδὸν, ut et scriptus præfert Apostolius. Adhibet et Plutarchus De sera numinis vindicta [p. 558 A.] Vaticanus amplius hoc loco: Τὸν Μουσικὸν Τέρπανδρον διὰ πολλῆς ἄγοντες τιμῆς, τοὺς ἐξ ἐκείνου πρώτους εἰς τὸν μουσικὸν ἀγῶνα εἰσῆγον, εἶτα τοὺς λοιπούς. Ἐλθὼν δὲ, &c. SCHOTT.

[h] ᾠδὸν Apostolii MS. Bodl.

[i] ἐπὶ τοῖς—φερομένοις] ἐπὶ τῶν—φερομένων Photius.

[j] Χείρωνι] n. 19. p. 67. apud Runkel.

[k] Μὴ σύ γε μελαμπύγου] Filii Theiæ Nymphæ, quæ *Limne* Apostolio, Suidæ *Memnonis* aut *Sennonis* dicta, *Perperi* appellati, sive *Cercopes:* a Jove post in simias transformati, unde Pithecusis insulis datum nomen. Naso lib. XIV. Transformationum. Nomina vero singulatim *Passalus* et *Achemon,* sive *Achmon:* aliis *Candalus* et *Atlas:* aliis *Olus* et *Eurybatus:* de quibus erudite Ia. Parrhasius ad lib. III. Claudiani, et Nazianzeni Enarratores Græci, et Suidas in dict. Μελαμπύγου τύχοις, e quo Apostolius descripsit, nisi quod Λίμνης, ut dixi, pro Μεμνονίδος habet. Utitur proverbio Plutarch. Περὶ παίδων ἀγωγῆς [p. 12 D.], ac De discrimine amici et adulatoris [p. 60 C.], ubi et historiæ meminit post Herodotum lib. VII. [216.] pervertente ibi Valla. Philostratus lib. II. vitæ Apollonii: Καὶ τοῦτο ἴσως ἦν τὸ Μελαμπύγου τυχεῖν. (quod ibi Aldus Manutius Præfat. reddidit: *atque hoc fortassis fuerit in clunatum incidere.* Suidæ Germanus interpres δασύπρωκτον retinet.) et Lycophronis enarrator Tzetzes, Μελαμπύγῳ τετύχηκας, dixit. Θεία autem (ut eodem redeam) ex Hyperione Solis mater poëtis credita, Hesiodo in Theogonia, et in Apollonii Rhodii eruditis Argonauticῶν scholiis. Aliis rursum non Oceani filia, ut hîc Zenobius autumat, sed conjunx prodita: sed hæc *Tethys* fuit: et filia ex Nereo *Thetis:* quæ Peleo nupta Achillis est mater. Sed qui in genealogiis poëticisque narrationibus fidem constantiamque requirat, næ ille, quod aiunt, in scirpo nodum quærat. SCHOTT. Μή τε μελαμπ. B. Archilochus in Schol. Ven. Il. ω'. 315. ἤ τευ μελαμπύγου τύχῃς. Casaub. ad Athen. p. 108 A. citat μὴ τῷ μελαμπύγῳ περιτύχοις.

ἰσχυροῦ τύχοις. Παροιμία δέ ἐστιν ἐντεῦθεν· [l]Θείας τῆς Ὠκεα- A
νοῦ θυγατρὸς ἐγένοντο παῖδες δύο. Οὗτοι τοὺς παριόντας βιαζόμενοι ἠδίκουν. Ἡ δὲ μήτηρ αὐτοῖς παρῄνει μηδὲν ἄδικον ποιεῖν, ἵνα μή τινος μελαμπύγου τυχόντες δίκην δώσουσιν. Ἐφίσταται οὖν αὐτοῖς Ἡρακλῆς, καὶ τοὺς πόδας αὐτῶν συνδήσας πρὸς ἀλλή-
λους, καὶ τῆς λεοντῆς ἐξαρτήσας κάτω ἄρας [m]ἐπέθηκε τοῖς ὤμοις B
αὐτοῦ. Οἱ δὲ δασύτητα περὶ τὴν πυγὴν τοῦ Ἡρακλέους ὁρῶντες ἐγέλων, ἀναμνησθέντες τῆς μητρός. Πυθόμενος δὲ Ἡρακλῆς τὴν αἰτίαν τοῦ γέλωτος, ἥσθη, καὶ ἀπέλυσεν αὐτούς.

11 [n]ΜΊΑ ΛΌΧΜΗ ΟΥ̓ ΤΡΈΦΕΙ ΔΎΟ ἘΡΙΘΆΚΟΥΣ: Ἐπὶ τῶν ἐκ μι-
κροῦ τινὸς κερδαίνειν σπουδαζόντων. Ἐρίθακος δέ ἐστιν ὄρνεον C
μονῆρες καὶ μονότροπον.

12 [o]ΜΊΑ ΧΕΛΙΔῺΝ ἜΑΡ ΟΥ̓ ΠΟΙΕΙ͂: Παροιμιωδῶς τοῦτο, ὅτι

Μία χελιδὼν ἔαρ οὐ ποιεῖ.

Βούλεται δὲ εἰπεῖν, ὅτι μία ἡμέρα οὐκ ἐᾷ εἰς γνῶσιν ἐμβαλεῖν, ἢ
εἰς ἀμαθίαν. D

13 ΜΩΡΌΤΕΡΟΣ ΕἿ ΜΟΡΎΧΟΥ: Αὕτη ἡ παροιμία λέγεται παρὰ τοῖς Σικελιώταις, ἐπὶ τῶν εὐηθές τι διαπρασσομένων, ὥς φησὶ [p]Πολέμων ἐν τῇ πρὸς Διόφιλον ἐπιστολῇ. Λέγεται δὲ οὕτως,

Μωρότερος εἶ [q]Μορύχου, ὃς τὰ ἔνδον ἀφεὶς, ἔξω τῆς οἰκίας κάθηται.

[l] Θείας] Τηθύος B.

[m] ἐπέθηκε] ἀπέθηκε H.

[n] Μία λόχμη] Allusit Aristophanes in Vespis [922.] Οὐ γὰρ ἄν ποτε Τρέφειν δύναιτ' ἂν μία λόχμη κλέπτα δύω. SCHOTT.

[o] Μία χελιδὼν] Respexit huc Aristoteles lib. I. Ethic. [c. 6.] Τὸ γὰρ ἔαρ οὔτε μία χελιδὼν ποιεῖ, οὔτε μία ἡμέρα. De veris nuntia hirundine Aristophanis interpres extrema Avium proverbii sensum præferre ait [1417.] Δεῖσθαι δ' ἔοικεν οὐκ ὀλίγων χελιδόνων. Postrema clarius effert Suidas: Βούλεται δέ τι εἰπεῖν, μία ἡμέρα οὐ ποιεῖ τὸν σοφὸν εἰς τελείωσιν ἐμβαλεῖν, καὶ δυσημερία μία τὸν σοφὸν εἰς ἀμαθίαν. Addit autem hîc Vatic. Καὶ μία μέλισσα μέλι οὐ ποιεῖ. Παροιμιωδῶς, &c. SCHOTT.

[p] Πολέμων] Vid. Athen. III. p. 109 A.

[q] Μορύχου] *Morychum* ut Bacchum perstringit in Ranis Aristophanes. Fæcibus autem os ejus oblinebant, ut musto ac ficis, quæ duæ stirpes a Baccho inventæ, teste Athenæo lib. II. Suidas iisdem pæne verbis adagium extulit, poëtamque tragicum hoc nomine celebrat. Desiderius vero transmarinam Venerem, qua se simiæ ritu jactabat, Io. Bapt. Pium hîc opinor lepide perstringit; quem et Franc. Floridus Sabinus accepit, ut dignus est, in Subsecivis lectionibus. SCHOTT.

Μόρυχος δὲ Διονύσου ἐπίθετον, ἀπὸ τοῦ τὸ πρόσωπον αὐτοῦ μολύνεσθαι, ἐπειδὰν τρυγῶσι, τῷ ἀπὸ τῶν βοτρύων γλεύκει καὶ τοῖς χλωροῖς σύκοις. Μορύξαι γὰρ τὸ μολύναι. Καταγνωσθῆναι δὲ αὐτοῦ εὐήθειαν, παρ' ὅσον ἔξω τοῦ νεὼ τὸ ἄγαλμα αὐτοῦ ἐστὶ παρὰ τὴν εἴσοδον ἐν ὑπαίθρῳ. Κατεσκεύασται δὲ ἀπὸ Ψέλλα καλουμένου λίθου ὑπὸ Σιμμίου τοῦ Εὐπαλάμου. A B

14 [r]Μύλος πάντα ἀκούων: Αὕτη τέτακται ἐπὶ τῶν κωφότητα προσποιουμένων, καὶ πάντα ἀκουόντων. Μέμνηται αὐτῆς Κρατῖνος ἐν Κλεοβουλίναις. Ἔστι δὲ καὶ κωμῳδιῶν ποιητὴς Μύλος.

15 [s]Μυσῶν λεία: Παροιμία ἐπὶ τῶν κακῶς διαρπαζομένων. Οἱ γὰρ περίοικοι κατ' ἐκεῖνον τὸν χρόνον τοὺς Μυσοὺς ἐληΐζοντο, ἕως ἂν ἦσαν ἄναρχοι. Ἐκεῖθεν οὖν ἐλέγετο ἡ Μυσῶν λεία. C

16 [t]Μᾶλλον ὁ Φρύξ: Συναγαγὼν ὁ Κροῖσος, ὥς φασὶ, τοὺς σοφοὺς, ἠρώτα, τίνα [u]εἰδεῖεν εὐδαιμονέστατον. Ἄλλου δὲ ἄλλον λέγοντος, Αἴσωπος ὁ Φρὺξ, ὁ μυθοποιὸς, τοσοῦτον ἔφη τὸν Κροῖσον τῶν ἄλλων, ὅσον καὶ τὴν θάλατταν τῶν ποταμῶν, προέχειν. Ἀκούσας δὲ ὁ Κροῖσος, εἶπε, Μᾶλλον ὁ Φρύξ. D

17 [x]Μία Μύκονος: Νηλεὺς προσέταξε τοῖς ἑαυτοῦ παισὶν,

[r] Μύλος] Comicum *Mylum* agnoscit et Hesychius. *Myllum* vero hîc geminata ll littera Vaticanus. Comœdiam autem *Cleobulinam* Cratini laudat etiam Athenæus libro II. Δειπνοσοφ. Fuit et hoc nomine poëtria, Cleobuli unius in septem Græciæ Sapientibus filia. Adagium vero alii a mola, unde specularentur, derivant, quæ et Græcis μύλος. SCHOTT.

[s] Μυσῶν] Utitur Demosthenes Orat. περὶ στεφάνου [p. 248, 23.] Aristoteles Rhetor. lib. I. [c. 12.] Regem Mysorum *Telephum* fuisse refert hîc Suidas, et ex Demone parœmiographo Harpocration in Lexico. Plura ad Diogenianum notabam. SCHOTT. Vid. Heindorf. ad Platonis Gorg. p. 256.

[t] Μᾶλλον ὁ Φρύξ] Suidas, et hinc Apostolius, amplius addunt, feras sapientibus nonnullis antecellere Crœso visas, quod libertatis nomine mortem oppeterent; quibusdam ciconias, quod citra legem, naturæ ductu justitiam colerent; Solone interim neminem ante obitum felicem pronuntiante. Historiam Plutarchus in Solone refert [p. 93.] meminitque Æsopici dicti, cum regibus δεῖν ὡς ἥκιστα, ἢ ὡς ἥδιστα ὁμιλεῖν, corrigente Solone, ὡς ἥκιστα, ἢ ὡς ἄριστα. SCHOTT.

[u] εἰδεῖεν] εἰδοῖεν P. H.

[x] Μία Μύκονος] Stephanus περὶ πόλεων, Μύκονον nominat per ο μικρὸν, ut et Strab. lib. X. [712=746.] quem Byzantius falso citat e libro tertio, ut vulgo editur, depravatusque locus e Strabone instaurandus. Aliam uterque proverbii originem a gigantibus ab

'Ηγήτορι καὶ 'Ιπποκλεῖ, τὰς νήσους καταστρέψασθαι. Χειρωσαμένου δὲ πολλὰς τοῦ 'Ηγήτορος, 'Ιπποκλέους δὲ μίαν τὴν Μύκονον, βουλομένου δὲ πασῶν ἔχειν τὸ μέρος, πέμψαντες, ἠρώτησαν κοινῇ τὸν θεὸν, τίνες [y] εἶεν τοῦ 'Ηγήτορος νῆσοι· ὁ δὲ εἶπε, Μία Μύκονος. A

18 Μὴ κίνει Καμαρίναν: Φασὶν [z] εἶναι λίμνην τῇ πόλει τῇ Καμαρίνῃ, ὁμώνυμον ταύτῃ, ἣν οἱ [a] Καμαριναῖοι μετοχετεῦσαι εἰς τὸ πεδίον βουλόμενοι, ἐχρήσαντο τῷ θεῷ· ὁ δὲ εἶπε, Μὴ κίνει Καμαρίναν. Οἱ δὲ παρακούσαντες τοῦ χρησμοῦ, [b] ἐβλάβησαν. Κἀκεῖθεν ἡ παροιμία εἴρηται ἐπὶ τῶν βλαβερῶς τι ποιεῖν ἑαυτοῖς μελλόντων. Τινὲς δὲ φασὶ φυτὸν δυσῶδες εἶναι τὴν Καμαρίναν· οὗ τοὺς κλάδους διασειομένους ἀηδέστερον ὄζειν. B C

19 [c] Μέτρῳ ὕδωρ πίνοντες, ἀμετρίῃ δὲ μάζαν ἔδοντες: Οὗτος ὁ στίχος εἰς παροιμίαν περιέστη ἔκ τινος χρησμοῦ, ὃν ἀνεῖλεν ὁ θεὸς Συβαρίταις· ὑβρισταὶ γὰρ ὄντες, καὶ ἀμετροπόται,

Hercule interemptis, et sub Mycono sepultis, adducit. Adhibet Plutarchus I. Sympos. [p. 616 B.] Μίαν Μύκονον ἀποφήνας τὸ συμπόσιον: *unam Myconum faciens symposium.* Porro Erasmus, et ejus æmulus Gil. Cognatus in Zenobio reddunt, *quænam insulæ Hippocli cederent,* pro *Hegetori,* μνημονικῷ ἁμαρτήματι. Vide infra adagio 21. Μυκώνειος γείτων. SCHOTT. Ubique reposui Μύκονος cum ο. Hoc proverbium egregie illustrat Hemsterhus. ad Lucian. D. M. I. 3. p. 334.

[y] ἦεν] L. εἶεν. Mox μίαν μύκωνος F.

[z] δὲ] εἶναι P. H. F.

[a] Καμαρινοὶ] Leg. Καμαριναῖοι.

[b] ἐβλάβησαν] Pro ἐβλάβησαν, rectius forte sit ἐβλαβήθησαν. Concisius vero hæc Vaticanus explanat: Οἱ μὲν λίμνην φασὶν, οἱ δὲ φυτὸν δυσῶδες, οὗ τοὺς κλάδους σειομένους ἀηδέστερον. 'Επὶ τῶν βλαβερῶς τι ποιεῖν μελλόντων. Oraculum verisimile carmine pronuntiatum fuisse: versibus enim oracula dari solita. Adfert autem hoc Stephanus Byzantius: Μὴ κίνει Καμαρίναν· ἀκίνητος γὰρ ἀμείνων. Utitur Maro III. Æneid. [700.] *et fatis numquam concessa moveri Apparet Camarina procul.* Ad quem locum eadem Servius, quæ hîc Zenobius ac Suidas. Maronem quoque secutus Silius Italicus lib. XIV. [198.] *Et cui non licitum fatis Camarina moveri.* Utitur et Lucianus de Apophrade [Pseudol. c. 32.] 'Ορᾷς ὡς ἄμεινον ἦν σοι ἀκίνητον τὴν Καμαρίναν ἐᾷν. SCHOTT.

[c] Μέτρῳ] Carmen hexametri lege constitui sublatis particulis μὲν et δὲ; et ἀμέτρως legendo, pro ἀμετρίῃ: quod et Erasmo in mentem venit: quem vide adagio, *Sybaritica mensa:* itaque membranæ Vatican. et exponunt: Συβαρίταις ὑβρισταῖς οὖσιν ἀνεῖλεν ὁ θεὸς τὸ παρὸν ὑπὸ Κροτωνιατῶν διαφθαρεῖσιν. SCHOTT. Μέτρῳ μὲν—ἀμετρίῃ δὲ P. H. F. Brub. Legendum ἀμετρὶ δέ.

ἀπώλοντο ὑπὸ Κροτωνιατῶν. Τοῖς οὖν διαφυγοῦσιν αὐτῶν οὕτως ἐχρήσθη. A

20 [d] Μέγα φρόνει μᾶλλον, ἢ Πηλεὺς ἐπὶ τῇ μαχαίρᾳ: Μέμνηται ταύτης Ἀνακρέων, καὶ Πίνδαρος ἐν [e] Νεμεονικαῖς. Φασὶ δὲ αὐτὴν ὑπὸ Ἡφαίστου γενομένην δῶρον Πηλεῖ σωφροσύνης ἕνεκα παρὰ θεῶν δοθῆναι, ᾗ χρώμενος πάντα κατώρθου, καὶ B ἐν ταῖς μάχαις, καὶ ἐν ταῖς θήραις.

21 [f] Μυκώνιος γείτων: Αὕτη τέτακται ἐπὶ τῶν διαβεβλημένων ἐπὶ [g] σμικρότητι καὶ μικροπρεπείᾳ, παρὰ τὴν σμικρότητα τῆς Μύκωνος νήσου καὶ εὐτέλειαν.

22 [h] Μῆλον Ἡρακλῆς: Ἀπολλόδωρος ἐν τοῖς περὶ θεῶν, ὅτι C θύεται Ἀθήνησιν Ἡρακλεῖ ἀλεξικάκῳ ἰδιάζουσά τις θυσία. Τοῦ γὰρ βοὸς ποτὲ ἐκφυγόντος, ὃν ἔμελλον τῷ Ἡρακλεῖ προσάξαι, μῆλον λαβόντας, καὶ κλάδους ὑποθέντας, τέσσαρας μὲν ἀντὶ σκελῶν, δύο δὲ ἀντὶ κεράτων, σχηματίσαι τὸν βοῦν, καὶ οὕτω τὴν θυσίαν ποιήσασθαι. D

23 [i] Μερὶς οὐ πνίγει: Δικαίαρχος φησὶν ἐν τοῖς περὶ τῆς Ἑλλάδος ἐν τοῖς δείπνοις μὴ εἶναι σύνηθες τοῖς ἀρχαίοις διανέμειν

[d] Μέγα] Suidas hinc ad verbum prope descripsit. Plura longe varieque Aristophanis enarrator ἐν νεφέλαις, ad illa verba [v. 1059.] Ὁ γοῦν Πηλεὺς ἔλαβε διὰ τοῦτο τὴν μάχαιραν. Pindari autem ἐπιγραφὴ mendo non vacat, Νεμεονικαῖς forte reponendum, aut Ἰσθμιονικαῖς. Sic enim prisci et Etymologus citare soliti, παρὰ Πινδάρῳ ἐν Ὀλυμπιονίκῃ, ut et alios alibi observasse comperi. Vaticanus autem codex sic: φασὶ δὲ αὐτὴν ὑπὸ Ἡφαίστου χαλκευθῆναι, δῶρον σωφροσύνης Πηλεῖ δοθῆναι, ᾗ χρώμενος, &c. SCHOTT.

[e] Εὐμεονικαῖς] Ἐν Νεμεονικαῖς. Scil. IV. 95 seqq.

[f] Μυκώνιος] Meminit Suidas, et Athenæus [p. 7. F.] citans hunc Archilochi versum: Ὡς ἄκλητον εἰς πλεῖοντα εἰς τὰ συμπόσια Μυκωνίων δίκα. Vide et sup. paulo, Μία Μύκωνος. Exemplar autem Vatic. hîc: Ἐπὶ τῶν γλίσχρων καὶ μικροπρεπῶν· ἀπὸ εὐτελείας τῆς νήσου Μύκωνος. SCHOTT. Ita Athenæus: Ὅτι περὶ Περικλέους φησὶν Ἀρχίλοχος, ὡς ἀκλήτου ἐπεισπαίοντος εἰς τὰ συμπόσια, Μυκονίων δίκην. Δοκοῦσι δ' οἱ Μυκόνιοι διὰ τὸ πένεσθαι καὶ λυπρὰν νῆσον οἰκεῖν, ἐπὶ γλισχρότητι καὶ πλεονεξίᾳ διαβάλλεσθαι. Retinui Μυκώνιος cum Suida et Photio in literarum serie. Alibi Photius: Μυκόνιον: τὸν γλισχρόν· πλεονέκται γὰρ ἐν μικροῖς οἱ Μυκόνιοι. Ἢ διὰ τὸ λυπρὰν εἶναι τὴν Μύκονον.

[g] σμικρότητι] Leg. γλισχρότητι cum Photio et Suida.

[h] Μῆλον] Suidas Μήλιος Ἡρακλῆς. Erasmus *Pomarius Hercules*, e Polluce paulo aliter historiam referente. Non dissimilis victima lignea, qua de supra in Λοκρικὸς βοῦς, Cent. V. adagio 5. SCHOTT.

[i] Μερὶς οὐ πνίγει] Suidas μερὶς οὐ

μερίδας· διὰ δὲ προφάσεις τινὰς ἐνδεεστέρων γενομένων τῶν A
ἐδεσμάτων, κρατῆσαι τὸ ἔθος τῶν μερίδων, καὶ διὰ τοῦτο τὴν παροιμίαν εἰρῆσθαι. Τῶν γὰρ ἐδεσμάτων κοινῇ καὶ μὴ κατὰ μέρος τιθεμένων, τὸ πρότερον οἱ δυνατώτεροι τὰς τροφὰς τῶν ἀσθενῶν ἥρπαζον, καὶ συνέβαινε τούτους ἀποπνίγεσθαι, μὴ [k] δυναμένους ἑαυτοῖς βοηθεῖν. Διὰ τοῦτο οὖν ὁ μερισμὸς ἐπενοήθη. B

24 [l] Νάηρα καὶ Χαρμιόνη: Τούτων ἡ μὲν τῶν τριχῶν ἐπιμέλειαν ἐποιεῖτο Κλεοπάτρας τῆς βασιλίσσης· ἡ δὲ, τῶν ὀνύχων· παρέμειναν δ' αὐτῇ καὶ μέχρι θανάτου, καὶ ἀποθανοῦσαι πολυτελοῦς ταφῆς ἠξιώθησαν, καὶ τιμῆς ἔτυχον. Κλεοπάτραν γὰρ [m] Καῖσαρ ὁ Αὔγουστος χειρωσάμενος, ἐβουλήθη τὸ βασιλικὸν C
αὐτῆς περιελεῖν διάδημα, καὶ θρίαμβον ἀγαγεῖν ἐπὶ μέσου τῆς πόλεως. Ἡ δὲ Κλεοπάτρα αἱρουμένη μᾶλλον ἐντίμως ἀποθανεῖν, ἢ ἐν ἰδιωτικῇ τάξει ἐπὶ θεάτρου ἀτιμασθῆναι, ἀνελεῖν ἑαυτὴν [n] ἐμέλλησεν. Ἀπόπειραν δὲ τῆς σκήψεως ποιουμένη, ἐπέτρεψεν Ναήρᾳ καὶ Χαρμιόνῃ ἐχίδνας παρ' ἑκατέρῳ τῶν μαζῶν ἐπιθέσθαι· D
αἱ δὲ τοῦτο ποιήσασαι, ἀνῃρέθησαν. Εἶθ' οὕτως καὶ Κλεοπάτρα βασιλικῶς ἑαυτὴν περιστείλασα, ἔχιδναν ἐπέθηκε τῷ μαζῷ, καὶ ὑπ' αὐτῷ ἀνῃρέθη. Ἀνδριάντες οὖν χάλκεοι πρὸ τοῦ [o] βήματος τῆς Κλεοπάτρας, ὃ καλεῖται Μαυσώλιον, [p] Ναήρᾳ καὶ Χαρμιόνῃ

πνὶξ habet, notatque et πνίγει alibi legi; quo modo fere Apostolius. SCHOTT.

[k] δυνάμενοι] δυναμένους P.

[l] Νάηρα] Assentior Desiderio, qui historiam potius et Zenobii officinæ existimat, quam ut proverbii speciem præ se ferat. Historiam commemorat et Plutarchus in M. Antonio, nisi quod ibi Εἴρας, (vel verius in calamo exaratis libris Καὶ εἴρας, corrupte ex Ναίειρα) quæ hîc Νάηρα; ibi Χάρμιον (vel, ut membranæ habent, Χαρμίων) quæ hîc Χαρμιόνη est, ut et in Mich. Glyca Ecclesiastic. hist. [p. 59. ed. Par.] Plutarchi verba apponam [p. 954 F.] Τῶν δὲ γυναικῶν ἡ μὲν Εἴρας λεγομένη, πρὸς τοῖς ποσὶν ἀπέθνησκεν, ἡ δὲ Χάρμιον ἤδη σφαλλομένη καὶ καρηβαροῦσα κατεκόσμει τὸ διάδημα περὶ τὴν κεφαλὴν αὐτῆς, &c. A Galeno autem medicorum principe lib. De Theriaca pedisequæ istæ Νάειρα καὶ Καρμιόνη dictæ [T. II. p. 460.]: Joanni Tzetzæ historia [VI. 44. v. 281.] corrupte haud dubio, Τάειρα καὶ Χαρμιουνώ. Addam et illud, Neæram ancillam, ἢ τῶν τριχῶν ἐπιμέλειαν ἐποιεῖτο, ab eodem Chæronensi [p. 943.] κουρεύτριαν appellatam. SCHOTT.

[m] Καῖσαρ ὁ Αὔγουστος] ὁ Ἀντώνιος P.

[n] ἐμέλησεν] ἐθέλησεν Valckenærius. Dedi ἐμέλλησεν.

[o] βήματος] σήματος (v. III. 94.) vel μνήματος Valckenærius.

[p] Ναήρα] Νεαίρα Valckenærius.

ἀνετέθησαν, διὰ τὸ καὶ μέχρι θανάτου αὐτῇ παραμεῖναι. Εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν μέχρι θανάτου τοῖς εὐεργέταις συγκινδυνευόντων. A

25 [q]Νόμοσ καὶ χώρα: Ἡ παροιμία αὕτη λέγεται διὰ τὸ ἕκαστον ἔθνος ἰδίοις νόμοις [r]χρῆσθαι. [s]Πέρσαι μὲν γὰρ μεθύοντες βουλεύονται, καὶ τοὺς βασιλεῖς [t]αὐτῶν ὡς θεοὺς προσκυνοῦσι· καὶ B οἱ μὲν ἴσοι ἀλλήλους καταφιλοῦσιν, οἱ δὲ ταπεινότεροι τῶν παρειῶν τῶν μειζόνων μόνων [u]τυγχάνουσι· τὰ δὲ γεννηθέντα αὐτοῖς παιδία μετὰ τετραετίαν βλέπουσι. Καὶ ἄλλα εἰσὶ [x]παρ' αὐτοῖς, οἷς μόνοι κατὰ ἴδιον ἔθος χρῶνται.

[y]Γόρδιοι τὸν [z]παχύτατον ἑαυτῶν βασιλέα αἱροῦνται. C

[a]Σύρρακοι τὸ διάδημα ἀκροτάτῳ διδόασιν. Ὡς δέ τινες φασὶ, τῷ μακροτάτην ἔχοντι τὴν κεφαλήν.

[b]Στυμφαλοὶ τιμῶσι γυναῖκα τὴν πλείοσιν ἀνδράσι προσομιλήσασαν.

[c]Ὅριοι Μασσαγέται ἐν ταῖς ὁδοῖς πλησιάζουσι. D

Vid. Schæfer. ad Plutarch. Vit. T. IV. p. 428. Et sic Clericus ad Erasmi III. 6, 36.

[q] Νόμος] De variarum gentium moribus ac ritibus Heraclides Ponticus ac Nicolaus Damascenus scripserat: ut de recentioribus Alexander Sardus Ferrariensis, et Joannes Bohemus. Νόμιμα etiam βαρβαρικὰ apud Varronem lib. VI. De lingua Lat. et Apollonii Scholiasten reliquit Aristoteles. Item Τυρρηνικὰ apud Athenæum lib. XII. aliique quos enumerat litteris hisce interioribus excellens Joan. a Wouwere de Polymathia cap. 9. SCHOTT.

[r] χρῆσθαι] χρᾶσθαι P. H.

[s] Πέρσαι] De Persarum moribus multa Strabo XV. Ælianus in Variis, Joan. Drusius libro XII. Observationum, Petrus Bizarrus Ligur, et Barnabas Brissonius Gallus in Sarracenicis, sed quæ immatura oppressus morte absolvere non potuerit. Lucianus in Nigrino tangit hunc morem, οὐ πόρρωθεν οὐδ' ὡς Πέρσαις νόμος. SCHOTT.

[t] ἑαυτῶν] αὐτῶν P.

[u] τυγχάνουσι] θιγγάνουσι Hemsterhus. ad Lucian. Nig. c. 21.

[x] παρ' αὐτοῖς] παρ' ἄλλοις Valckenærius.

[y] Γόρδιοι] Γορδυαῖοι Valckenærius.

[z] παχύτατον] f. ταχύτατον. Sic certe de Aliterniis Nicolaus Valesii p. 521. VALCKEN.

[a] Σύρρακοι] In Vaticano cod. non Σύρρακοι, sed Συρακούσιοι est, ad hunc modum: Συρακούσιοι τὸ διάδημα μακροτάτῳ διδόασιν, ἢ τῷ μακροτάτην ἔχοντι κεφαλήν. SCHOTT. Suspicor leg. Ὑρκανοὶ τ. δ. τῷ μακροτάτῳ. VALCKEN. διαδημακροτάτω P.

[b] Στυμφαλοὶ] Στάφυλοι eædem membranæ præferunt, et pro προσομιλήσασαν habent γαμηθεῖσαν. SCHOTT.

[c] Ὅριοι Μασσαγέται ἐν ταῖς ὁδοῖς πλησιάζουσι] Ὅρειοι Μασσαγέται ταῖς φδαῖς πλησιάζουσιν Vat. SCHOTT.

Σαυρομάται περὶ πότον τὰς θυγατέρας πιπράσκουσι. A

[d]Μαζούσιος δὲ γυναικὶ οὐ μίγνυται, εἰ μὴ πολεμίαν ἕλῃ.

[e]Τιβαρηνοὶ, τῶν γυναικῶν τεκουσῶν, αὐτοὶ τὰς κεφαλὰς δέονται καὶ κατακλίνονται.

[f]Παρὰ τοῖς [g]Κεκερταίοις οἱ ἐργάται τὰ φορτία βαστάζουσιν, ἄχρις οὗ τὶς αὐτὰ ὠνήσεται. B

[h]Οἱ Σιδῶνες τοὺς γονεῖς ἐσθίουσι, χωρὶς τῆς κεφαλῆς· τὴν δὲ κεφαλὴν χρυσοῦσι.

[i]Καυσίαι ἐπὶ γεννωμένοις δακρύουσιν, ἐπεὶ δὲ ἀποθνήσκουσι, χαίρουσι.

[k]Βακχείριοι, ἐὰν ἀπὸ νόσου σωθῶσι, κυσὶν ἑαυτοὺς παραβάλλουσιν. C

[l]Ὀργεμπέοι οἰκίας οὐκ ἔχουσιν, οὐδὲ ἔμψυχόν τι σιτοῦνται. [m]Εἰ(σι) δὲ καὶ σὺν γυναιξὶ φαλακροὶ διὰ φύσιν [n]ὕδατος οὐ πίνουσι.

[d] Μαζούσιος] Μαζούσιος quoque redditur a Desiderio Batavo; aliter tamen in Vaticano: παρ' Ἀμαζόσιν οὐδεμία γαμεῖται, ἐὰν μὴ πολέμιον ἀνέλῃ. SCHOTT.

[e] De Tibarenis eadem Apollonii interpres libro II. Ἐν δὲ τῇ τῶν Τιβαρήνων γῇ αἱ γυναῖκες, ὅταν τίκωσι, τημελοῦσι τοὺς ἄνδρας ὥσπερ λέχους, ὡς ἱστορεῖ ὁ Νυμφόδωρος ἔν τισι νόμοις. Ubi legendum, ut id ἐν παρόδῳ moneam, νομίμοις. Nymphodori enim Νόμιμα βαρβαρικὰ Clemens citat in Protreptico, ac rursum ejusdem nominat νόμιμα Ἀσίας lib. I. Stromateon. Ex Apollonio Valerius Flaccus lib. V. Argonaut. emendante Politiano lib. I. Epist. 16. (ubi tamen *Tisinomis* pro τισὶ νόμοις excuditur) *Inde Genetæi rupem Jovis, hinc Tibarenum Dant virides post terga lacus ubi deside mitra Fœta ligat, partuque virum fovet ipsa soluta.* Tibarenorum et alii mores. Dionysius Afer lib. I. *Pastores ovium* nominat. Eusebius vero viros seniores præcipitare solitos ait libro I. Præpar. Evang. cap. 3. SCHOTT.

[f] Παρὰ Κεκερταίοις in Vatican. est Παραδεδορκότες καὶ οἱ ἐργάται, etc. SCHOTT.

[g] Κεκερταίοις] An Κερκέταις, qui memorantur Nicolao Valesii p. 517. VALCKEN.

[h] Quod autem hîc de Sidonibus ait parentum capita inaurare solitis, idem fere de Panebis Libyæ populis Stobæus commemorat, qui regum corpus sepeliebant, caput vero abscissum et inauratum in templo suspendebant ac consecrabant. SCHOTT.

[i] Καυσίαι ἐπὶ γενομένοις] Vatic. aliter: Καυσιακαὶ ἐπὶ μὲν τοῖς γενομένοις δακρύουσιν. Ἐπὶ δὲ, etc. SCHOTT. Καυσίαι P.

[k] Pro Βακχείριοι, Βακχόριοι in Vat. legitur. SCHOTT. Βέχειροι Vossius ad P. Melam I. 19, 79. p. 661. Mox ἑαυτὸν F.

[l] Statim cum diphth. αι Ὀργεμπαῖοι, etsi *Orgempeos* Erasmus nominet. SCHOTT.

[m] Εἰ δὲ καὶ σὺν γυναιξὶ] Locum

[o] Θυέσται τοῖς θεοῖς τὰ ὀστᾶ θύουσιν, αὐτοὶ τὰς σάρκας ἐσθίοντες. A

[p] Ταυροσκύθαι ἀνθρώπους θύουσι.

Βυζωνοὶ μεσόγειοι βοῦς ἀμέλγοντες, μόνῃ ταύτῃ τροφῇ χρῶνται.

Οἱ κατὰ τὴν ἡμετέραν οἰκουμένην [q] Ἴβηρες κυνῶν ἀγέλην τρέφουσιν ἀντὶ προβάτων. B

Αἰθίοπες δὲ οἱ λεγόμενοι Κολχεῖς, ὑαίνας. Διὰ ταῦτα ἡ παροιμία εἴρηται.

26 Ξένος ἔλθοι ὅστις ὀνήσει: Ταύτην φησὶ Θεόπομπος ὑπὸ Φιλίππου πρῶτον λεχθῆναι. Θετταλῶν γὰρ καταστρεψάμενος πόλιν, καὶ τοὺς αὐτόθι ξένους πωλήσας, χλευάζων εἶπεν, Ἔλθοι ξένος ὅστις ὀνήσει. C

27 [r] Ξαίνεις εἰς πῦρ: Λέγεται ἡ παροιμία αὕτη ἐπὶ τῶν μάτην κακοπαθούντων.

28 [s] Οὐκ ἐπαινεθείης οὐδ' ἐν περιδείπνῳ: [t] Ἐπὶ τῶν σφόδρα D

hunc de mendo suspectum videri ad oram editi libri pridem adnotaram; et sunt sane trajecta. Recte vero in membranis: εἰσὶ δὲ φαλακροὶ διὰ τὴν φύσιν τοῦ ὕδατος οὗ πίνουσι καὶ αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν. SCHOTT.

[n] τοῦ ὕδατος] τοῦ om. P. H. F. τὴν item om. iidem ante φύσιν.

[o] Θυέσται τὰ ὀστᾶ τοῖς θεοῖς ἐπιθύουσιν, Vat. pro illis editis: Θυσέται τοῖς θεοῖς. SCHOTT. Θυσέται P.

[p] Ταυροσκύθαι ἀνθρωποτυθοῦσι] Tentabat nuper eruditissimus Wouwerius, Notis ad Minucii Felicis Octavium: Ταυρίῃ Σκύθαι ἀνθρώπῳ θύουσι, hoc est, *Tauricæ Dianæ hominem Scythæ immolant.* Scriptum tamen in Vatic. Ταυροσκύθαι ἀνθρώπους ἐσθίουσιν. De crudeli autem in Tauris sacrificio Tertullianus in Apologetico, Eusebius lib. IX. Præparat. Evang. aliique. SCHOTT. Dedi ἀνθρώπους θύουσι cum B.

[q] Aliter Vatic. ut sues alant pro ovibus Hiberes: Ἴβηρες ὑῶν ἀγέλας ἀντὶ προβάτων τρέφουσι. Διὰ ταῦτα ἡ παροιμία. SCHOTT.

[r] Ξαίνεις] Plato usurpavit lib. de Legibus VI. [p. 780 C.] Ὀλίγου δὲ ποιεῖν τὸν νομοθέτην τὸ τῶν παιζόντων εἰς πῦρ ξαίνειν. Affine illud ejusdem in Eryxia [p. 405 C.] Καταμαθεῖν δὲ αὐτὸν ἐγὼ, ὅτι ἴσον εἴη πεῖσαι, ὅπερ ἂν τὸ λεγόμενον λίθον ἑψῆσαι. Ad quæ Platonis loca respexit Aristides Apologia quattuor Rhetorum [p. 377. ed. Cant.] Ἐλελήθεις δὲ ἄρα σαυτὸν ἀπάσαις ταῖς παροιμίαις ἐνεχόμενος, εἰς πῦρ ξαίνων, καὶ λίθον ἕψων, καὶ σπείρων τὰς πέτρας. Cognatum huic est symbolum Pythagoricum: *Ignem gladio ne fodito.* SCHOTT.

[s] Οὐκ ἐπαινεθείης] Ad hunc funeris ritum respexit M. Tullius lib. II. de Legibus [c. 63.] *Sequebantur epulæ, quas inirent propinqui coronati: apud quas de mortui laude, cum quid veri erat, prædicatum. Nam mentiri nefas*

πονηρῶν ἡ παροιμία [t]λέγεται, καὶ μηδὲ τοῦ τυχόντος ἐπαίνου A ἀξίων. Εἰώθασι γὰρ οἱ παλαιοὶ ἐν τοῖς περιδείπνοις τὸν τελευτήσαντα ἐπαινεῖν, [u]καὶ εἰ φαῦλος ἦν.

29 [w]ΟἸΝΌΗ ΤῊΝ ΧΑΡΆΔΡΑΝ: Ἡ παροιμία αὕτη λέγεται ἐπὶ τῶν ἑαυτοῖς κακόν τι ἐφελκομένων. Οἰνόη γὰρ δῆμος ἐστὶ τῆς Ἀττικῆς· οἱ δὲ οἰκοῦντες αὐτόθι χαράδραν ὑπὲρ αὐτῶν φερομένην B [x]παρέτρεψαν εἰς τὴν ἑαυτῶν χώραν. Πολλὴ δὲ γενομένη ἡ χαράδρα ἐλυμήνατο αὐτῶν τὰ γεώργια, καὶ τὰς οἰκίας μετέβαλεν.

30 [y]Ὁ ΚΡῊΣ ΤῊΝ ΘΆΛΑΤΤΑΝ: Ἐπὶ τῶν ἐν οἷς διαφέρουσι ταῦτα φεύγειν προσποιουμένων ἡ παροιμία ἐστίν· ἐπειδὴ ναυτικώτατοι οἱ C Κρῆτες ἐγένοντο. Μέμνηται ταύτης Ἀλκαῖος.

31 [z]ΟὐΦΡΟΝΤῚΣ ἹΠΠΟΚΛΕΊΔΗΙ: Ἱπποκλείδης μετὰ καὶ ἄλλων

habebatur. Idemque in Bruto, qui de claris est Oratoribus, laudatione funebri factam queritur historiam mendosiorem; quod et in T. Livio extremo libro VIII. reperias. Rursus idem Cicero II. de Legib. [c. 24.] *circumpotationem* vocare videtur, quam Græci περίδειπνον, antiquitus etiam *silicernium*, et *exequium* auctore Festo. Etymologista: περίδειπνον, ἡ ἐπὶ τοῖς ἀποθανοῦσι γινομένη ἑστίασις. SCHOTT.

t λέλεκται] λέγεται P.

u καὶ εἰ] Hanc lect. contra Davisium ad Ciceron. Legg. p. 177. defendit Schæfer. ad Longum p. 355.

w Οἰνόη] Proverbii meminit Hesychius ex Demone parœmiographo vetere, a Suida etiam laudato non raro. Strabo quoque libro VIII. [p. 545=577. (ubi Οἰνώνη)] Geogr. qui et duplicem Οἰνόην nominat; unam Eleutheris finitimam, alteram apud Marathonem. Stephanus unam ponit in Icaria, gentiles derivans Οἰναίους. Οἰναίους alii scribunt, ut Suidas, ex eoque Apostolius. Post τῆς Ἀττικῆς addit Vatican. ὁμοία τῇ, Ὁ Καρπάθιος τὸν λαγών. Et pro παρέγραψαν, παρέτρεψαν, ut et κατέστρεψεν, pro quo μετέβαλεν editum. SCHOTT.

x παρέγραψαν] Sic etiam Suidæ ms. vet. sed leg. παρέτρεψαν cum B. Mox pro μετέβαλεν malim κατέβαλεν. Suidas καθεῖλεν.

y Ὁ Κρὴς] Meminit et Strabo, et explicat proverbium lib. x. [p. 702=737.] Adhibet etiam Aristides in Pericle [p. 229 Cant.] Ὁ Κρὴς τὸν πόντον. Ubi et Scholiastes Cretenses navigandi peritos facit, et affine esse, Ὁ Σικελὸς τὴν θάλασσαν, de quo infra adagio 15. SCHOTT.

z Οὐ φροντὶς] Historiam refert Herodotus in Eratone [VI. 129.] meminitque proverbii Eustathius in primum Iliad. [p. 159.] Lucianus in Apologia [Pro merc. ult.] et in Hercule [c. 8.], Plutarchus etiam lib. in Herodotum, Suidas ex Hermippo ἐν δημόταις. Usurpat et Phrynichus in Ecloga nominum Atticorum edente Petro Nunnesio, homine doctissimo, longe quam antea co-

πολλῶν ἐμνηστεύσατο τὴν Κλεισθένους τοῦ Σικυωνίου θυγατέρα. A Τοῦ δὲ Κλεισθένους ἐν ἐνιαυτῷ ὅλῳ δοκιμάζοντος τοὺς μνηστῆρας, ὁ Ἱπποκλείδης ἐν συμποσίῳ ἐπὶ [a]κεφαλὴν κυβιστήσας, ἄνω περιῆγε τοὺς πόδας. Τοῦ δὲ Κλεισθένους εἰπόντος, "Ἐξωρχήσω τὸν γάμον·" ὁ Ἱπποκλείδης ἔφη, Οὐ φροντὶς Ἱπποκλείδῃ.

32 Οὐ νυκτιπλοεῖς: Ἐπὶ τῶν μὴ ἀκριβῶς τι ποιούντων. [b]Ἡ B γὰρ νὺξ ἀκριβεστέρα τῆς ἡμέρας τοῖς [c]πελαγοδραμοῦσι, διὰ τὰς τῶν ἄστρων σημειώσεις. Ὁ δὲ Χρύσιππος ἀφελὼν τὴν οὐ ἀπόφασιν, Νυκτιπλοεῖς εἶπεν.

33 [d]Οὐκ ἄνευ γε Θησέως: Θησεὺς πολλοῖς ἀριστεῦσι συνηγωνίσατο. Τῷ γὰρ Μελεάγρῳ συνήργησε πρὸς τὴν τοῦ Καλυδωνίου C κάπρου θήραν, τῷ Πειρίθῳ συνεμάχησε κατὰ τῶν Κενταύρων, καὶ Ἡρακλεῖ πρὸς τὰς Ἀμαζόνας. Ὅταν οὖν θαυμαστόν τι πραχθῇ οὐχ ὑπὸ μόνου τινὸς, εἰώθαμεν λέγειν αὐτῷ, Οὐκ ἄνευ γε Θησέως.

[e]Ἡ δὲ περὶ τοῦ Μελεάγρου ἱστορία καὶ τοῦ [f]Καλυδωνίου συὸς οὕτως ἔχει· Μελεάγρου γεννηθέντος φασὶ τὰς Μοίρας

piosius, in dict. Κολλάβους. Thomas vero Magister re male intellecta dict. Ἐνεχυριμαῖα Hippoclidi verbum ἐνεχυριμαῖον non adagium tribuit. Vaticanam nunc scripturam apponam: Τοῦ δὲ Κλεισθένους ἐνιαυτὸν ὅλον δοκιμάζοντος τοὺς μνηστῆρας, ὁ Ἱπποκλείδης συμποσίῳ παρ' ᾧ ἔμελλε γαμβρὸς ἀναγορεύεσθαι ἐπὶ κεφαλὴν κυβιστήσας, ἄνω περιῆγε τοὺς πόδας. Pedes attollere quod explicat ad Cicer. Pet. Victorius. Hîc quoque ἐξωρχήσω leg. non ἐξορχήσω. SCHOTT.

[a] κρέας] κεφαλὴν P.H. κρᾶς Wesseling. ad Herodot. VI. 129.

[b] Ἡ γὰρ νὺξ ἀκριβεστέρα τῆς νυκτὸς] Rescribendum arbitror potius τῆς ἡμέρας, ut converti. Chrysippum sensu eodem extulisse, etsi negatione sublata vult Erasmus: mihi contra videtur. Significat enim philosophus majori in periculo noctu versari, ne in scopulos ad insulas impingens, navem frangat, quam qui interdiu naviget. SCHOTT. ἡμέρας B.

[c] πελαγοδραμοῦσι] πελαγοδρομοῦσι P.

[d] Οὐκ ἄνευ] Vid. Eustath. Il. σ'. p. 1129, 53. Mox ὑπὸ μόνον F.

[e] Ἡ δὲ περὶ] Seqq. sumpta videntur ex Apollodoro I. 8, 2. seqq.

[f] Καλυδωνίου συὸς] De apri Calydonii venatione res trita. Legendus tamen Diodorus Siculus libro IV. Bibliothecæ, etsi Thesei nulla ibi mentio; Ovidius lib. VIII. Metamorph. Utitur proverbio Aristides ad Thebanos de auxiliis [v. Symmach. 1. p. 238. ed. Cant.] Plutarchus etiam in Theseo [p. 13 F.] (addens et illud proverbium, *Alter Hercules*) his verbis: Ἕτεροι δὲ καὶ μετ' Ἰάσονος ἐν Κόλχοις γενέσθαι, καὶ Μελεάγρῳ συνεξελεῖν τὸν κάπρον. Καὶ διὰ τοῦτο παροιμίαν εἶναι τὴν, Οὐκ ἄνευ Θησέως. Αὐτὸν μέντοι μηδενὸς συμμάχου δεηθέντα, πολλοὺς καὶ καλοὺς ἄθλους κατεργάσασθαι. Καὶ τὸν, Ἄλλος οὗτος Ἡρακλῆς, λόγον ἐπ' ἐκείνου κρατῆσαι. SCHOTT.

παραγενομένας εἰπεῖν, Τότε τελευτήσει Μελέαγρος, ὅταν ὁ καιό- A
μενος ἐπὶ τῆς ἐσχάρας δαλὸς κατακαῇ. Τοῦτο ἀκούσασα ἡ μή-
τηρ αὐτοῦ Ἀλθαία, τὸν δαλὸν ἀνείλετο, καὶ κατέθετο εἰς λάρνακα.
Μελέαγρος δὲ ἀνὴρ γενναῖος γενόμενος, τόνδε τὸν τρόπον ἐτελεύ-
τησεν. Οἰνεὺς ὁ τούτου πατὴρ τὰς ἀπαρχὰς τῶν ἐτησίων καρπῶν
τοῖς θεοῖς θύων, τῆς Ἀρτέμιδος ἐπελάθετο. Ἡ δὲ ὀργισθεῖσα, B
κάπρον ἐφῆκεν ἄγριον, μεγέθει τε καὶ ῥώμῃ ἔξοχον, ὃς τὴν γῆν
τῶν Καλυδωνίων διέφθειρε, καὶ τοὺς καρποὺς ἐλυμαίνετο. Ἐπὶ
τοῦτον τὸν κάπρον τοὺς ἀρίστους ἐκ [g]τῆς Ἑλλάδος πάντας συν-
εκάλεσεν· καὶ τῷ κτείνοντι τὸν θῆρα τὴν δορὰν δώσειν ἀριστεῖον
ἐπηγγείλατο. Πολλῶν οὖν συνελθόντων, καὶ ὁ Μελέαγρος ἐπὶ C
τὴν [h]θήραν ἐξῆλθε, σύμμαχον προσκαλεσάμενος τὸν Θησέα.
Συνελθούσης δὲ μετὰ τῶν ἀριστέων καὶ Ἀταλάντης τῆς θυγατρὸς
τοῦ Σχοινέως, κοινῇ τὸν κάπρον περιέστησαν ἅπαντες. Πρώτη
μὲν οὖν Ἀταλάντη τὸν κάπρον εἰς τὰ νῶτα ἐτόξευσε· Μελέαγρος
δὲ κατὰ τοῦ κενεῶνος πλήξας ἀπέκτεινε, καὶ λαβὼν τὸ δέρας, D
Ἀταλάντῃ χαριζόμενος ἔδωκε. Παρόντων δὲ ἐκεῖσε καὶ τῶν Θε-
στίου παίδων, τῶν ἀδελφῶν τῆς Ἀλθαίας, καὶ ἀδοξούντων εἰ τὰ
ἀριστεῖα γυνὴ λήψεται, τὸ δέρας [[i]ἐξ] Ἀταλάντης ἀφείλοντο,
λέγοντες, κατὰ γένος [j]αὐτῆς διαφέρειν, εἰ Μελέαγρος λαμβάνειν
μὴ προαιροῖτο. Ὀργισθεὶς δὲ Μελέαγρος, τοὺς μὲν Θεστίου E
παῖδας ἀπέκτεινε, τὸ δὲ δέρας Ἀταλάντῃ δέδωκεν. Ἀλθαία δὲ
λυπηθεῖσα ἐπὶ τῇ τῶν ἀδελφῶν ἀπωλείᾳ, τὸν δαλὸν ἀνῆψεν, καὶ ὁ
Μελέαγρος ἐξαίφνης ἀπέθανε.

Συνεμάχησε δὲ τῷ Πειρίθῳ Θησεὺς, ὅτε κατὰ τῶν Κενταύρων
συνεστήσατο πόλεμον. Πειρίθους γὰρ Ἱπποδάμειαν μνηστευό- F
μενος, εἱστία Κενταύρους ὡς συγγενεῖς ὄντας αὐτῇ. Ἀσυνήθως
δὲ ἔχοντες οἴνου, ἀφειδῶς ἐμφορησάμενοι ἐμέθυον, καὶ εἰσαγομένην
τὴν νύμφην ἐπεχείρουν βιάζεσθαι. Ὁ δὲ Πειρίθους μετὰ Θη-
σέως καθοπλισάμενος, μάχην συνῆψε. Καὶ πολλοὺς ὁ Θησεὺς
ἀπ' αὐτῶν ἀνεῖλεν. G

Ἀπῆλθε δὲ Θησεὺς καὶ μετὰ Ἡρακλέους πρὸς Ἀμαζόνας.

g τῶν] τῆς P. Apollod. Mox συνεκάλεσαν F.
h θύραν] θήραν P.

i ἐξ forte delend.
j αὐτῆς] αὐτοῖς P. αὐτοῖς προσήκειν Apollod.

Εὐρυσθέως γὰρ [k] ἐπιτάξαντος Ἡρακλεῖ κομίσαι τὸν Ἱππολύτης A
ζωστῆρα, τῆς τῶν Ἀμαζόνων βασιλίσσης, ἀπελθὼν Ἡρακλῆς
ἐζήτει τοῦτον. Τῆς δὲ συνθεμένης δοῦναι, Ἥρα μανίαν φυλάτ-
τουσα πρὸς αὐτὸν, εἰκασθεῖσα μιᾷ τῶν Ἀμαζόνων περιῄει πάσαις
λέγουσα, ὅτι ὁ παραβαλὼν ξένος τὴν βασιλίδα βιάζεται, καὶ
ταύτης τὸν ζωστῆρα, ὃν ἐξ Ἄρεος εἰς δεῖγμα τῆς βασιλείας εἴ- B
ληφεν, ἀφελέσθαι βούλεται. Τοῦτο ἀκούσασαι Ἀμαζόνες, ἀφω-
πλισμέναι κατὰ τοῦ Ἡρακλέους ἐξῄεσαν. Νομίσας δὲ Ἡρακλῆς
ἐκ δόλου τοῦτο γενέσθαι, τὴν μὲν Ἱππολύτην κτείνας τὸν ζω-
στῆρα ἀφαιρεῖτο, πρὸς δὲ τὰς λοιπὰς ἀγωνισάμενος ἀποπλεῖ.
Διὰ τοῦτο ὕστερον βουλόμενος Ἡρακλῆς Ἀμαζόνας ἀμύνασθαι, C
ἐστράτευσε κατ' αὐτῶν, συμπαραλαβὼν καὶ Θησέα εἰς συμμα-
χίαν, ἃς καὶ κατεπολέμησε παρ' αὐτοῦ συμμαχούμενος.

34 [l] Οὐδὲ πυρφόρος ἐλείφθη: Ἐπὶ τῶν μεγάλων κινδύνων εἴρη-
ται ἡ παροιμία· ἐπειδὴ πάσης πολεμικῆς παρασκευῆς ἔδει τὸν
μάντιν ἡγεῖσθαι, δάφνης ἔχοντα κλάδον καὶ στέμματα· καὶ τού- D
του νόμος ἦν μόνου φείδεσθαι τοὺς πολεμίους. [m] Ἐπὶ τοίνυν τῶν
πανωλεθρίᾳ διεφθαρμένων καιρὸν ἔσχεν ἡ παροιμία.

35 [n] Ὁ σκνὶψ ἐν χώραι: Ἐπὶ τῶν ταχέως μεταπηδώντων ἡ

[k] ἐπιτάξαντος] ὑποτάξαντος H.

[l] Οὐδὲ πυρφόρος] Suidas bis adagium adfert, et concise, Οὐδὲ πυρφόρος, ex eoque Apostolius, et productius, Οὐδὲ πυρφόρος ἐπελείφθη, additque et facem præferri solitam. Mos enim erat ignem summo imperatori in pompis bellicisque apparatibus præferri, ut ex Herodiano lib. II. et VII. aliisque observatum. Facere non possum quin elegantem enarratoris Euripidis in Phœnissis [v. 1386.] locum adscribam: Ἐχρῶντο οὖν κατὰ τὸ παλαιὸν ἐν τοῖς πολέμοις ἀντὶ σαλπιγκτῶν πυρφόροις. Οὗτοι δὲ ἱεροὶ ἦσαν Ἄρεως ἑκατέρας στρατιᾶς προηγούμενοι μετὰ λαμπάδος, ἣν ἀφιέντες εἰς τὸ μεταίχμιον ἀνεχώρουν ἀκίνδυνοι. Καὶ οὕτως συνέβαλλον αἱ στρατιαί. Ἐσώζοντο δὲ πυρφόροι, ὡς ἱεροὶ τοῦ θεοῦ, εἰ καὶ πάντες ἀπώλοντο. Ὅθεν παροιμία ἐπὶ τῶν ἄρδην ἀπολλυμένων, Οὐδὲ πυρφόρος ἐσώθη. Simile est illud: Οὐδὲ ἄγγελος ὑπολέλειπται, apud Eustathium in Iliados μ'. [p. 893, 11. paullo aliter] quod et apud historicos Latinos non raro occurrit, tantam fuisse stragem internecionemque, ut ne cladis quidem nuntius superfuerit. SCHOTT. Vid. Baehr. ad Herodot. VIII. 6.

[m] Ἐπὶ τοίνυν τῶν] ἐπὶ τῶν αὐτῶν H.

[n] Ὁ σκνὶψ] Κνὶψ alii absque σ legunt, alii ἐκ χώρας. De hoc vero verme, an teredo sit necne, hîc Erasmus quærit. Suidas ait κωνωποειδὲς, ut Orus definit, id est simile culici; adjungit et parvum esse animalculum quod lignum rodit, ex hoc Zenobio fortasse.

παροιμία εἴρηται. Σκνὶψ γάρ ἐστι θηρίδιον ξυλοφάγον, [o]ἀπὸ A τόπου εἰς τόπον μεταπηδῶν. Μέμνηται ταύτης [p]Στράτις.

36 [q]Οἶδε Πυλαία ταῦτα καὶ Τυττυγίας: Ὁ Τυττυγίας ἀνδραποδιστὴς ἦν· ἐπώλει δὲ ἐν τῇ Πυλαίᾳ τὰ [r]ἀλλότρια. Τάττεται δὲ ἡ παροιμία κατὰ τῶν ἀλλότρια ἁρπαζόντων καὶ πωλούντων.

37 [s]Οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθον ἔσθ' ὁ πλοῦς: [t]Κό- B ρινθος πολλὰς εἶχεν ἑταίρας καὶ πολυτελεῖς, αἳ τοὺς ἀφικομένους τῶν ξένων ἐδασμολόγουν, τὰ ἐφόδια αὐτῶν ἀναλαμβάνουσαι. Διὰ γοῦν τοῦτο ἐπὶ τῶν τρυφᾶν βουλομένων εἰρῆσθαι τὴν παροιμίαν.

38 [u]Ὄνου πόκους ζητεῖς: Ἐπὶ τῶν ἀνυπόστατα ζητούντων. Παρ' ὅσον τὴν ὄνον οὔτε πέξαι τὶς δύναται, οὔτε κάρσαι. Λέγε- C ται δὲ καὶ Ὄνον κείρεις, ἐπὶ τῶν ἀνηνύτοις ἐπιχειρούντων.

De vocis etymo, inflexione, ac scriptura multa Etymologus et Phrynichus de Atticis vocibus: Σκνιφὸς κατὰ διαφθορὰν οἱ πολλοὶ λέγουσιν τὸν γλίσχρον καὶ μικροπρεπῆ περὶ τὰ ἀναλώματα. Οἱ δὲ ἀρχαῖοι σκνῖπα καλοῦσιν, ἀπὸ τοῦ θηριδίου τοῦ ἐν τοῖς ξύλοις κατὰ βραχὺ κατεσθιόντος. Ad quem locum plura doctiss. interpres Io. Nunnesius, Valentinus, multis mihi nominibus in Hiberia carissimus, cultusque ob singularem doctrinam. De Strattide autem Comico Suidas, et in Prolegomenis Aristoph. et Lilius Giraldus. SCHOTT.

o ἀπὸ τοῦ] τοῦ om. P. H.

p Στράττις] Στράτις P. F. Brub.

q Οἶδε] Plutarch. (n. 105.) οὐδέν. Leg. suspicor, Οὐ δὴ Πυλαία ταῦτα καὶ Τυττυγίας. VALCKEN.

r ἀλλότρια] ἀλλοτρίων H.

s Οὐ παντὸς] Strabo lib. VIII. [p. 549=581.] et Agellius Noct. Att. I. c. 8. his consentanea de proverbii origine, ut de Laide a Demosthene μυρίας δραχμὰς ἢ τάλαντον, sui ut copiam faceret, poscente. At ille vere, inquit, Οὐκ ὠνοῦμαι μυρίων δραχμῶν μεταμέλειαν. Alteram quoque causam Suidas adfert, quod periculosa esset Corinthum navigatio, statioque infida: quod nec Strabo inficiatur. Legendus in Plutum Aristophanis enarrator [v. 149.] et Eustathius in Iliad. β'. [p. 290.] qui addit proverbium ex hoc versu Sophoclis in Philocteta mutuatum videri: Οὐκ ἐνθάδ' οἱ πλεῖ τοῖσι σώφροσι βροτῶν. SCHOTT.

t Ἡ Κόρινθος] Ἡ om. P. F.

u Ὄνου πόκους] Aliter paulo Vatican. cod. Ὄνου πόκας. Ἀριστοφάνης· Χωρίον ἐν ᾅδου τετύπωκεν ὄνου πόκας. Λέγεται ἐπὶ τῶν ἀνηνύτων καὶ ἀτελῶν, ὅτι καὶ ὄνος οὔτε κείρεται, οὔτε ἐξ αὐτοῦ πόκος γίνεται. Locus autem Aristophanis hic ἐν βατράχοις extat [188.] Τίς εἰς τὸ λήθης πεδίον, τίς εἰς ὄνου πόκας; ad quem locum eadem Aristophanis enarrator, et Suidas, qui vitiose tamen ἀνοήτων, pro ἀνηνύτων præfert, aitque Aristarchum ex Cratino derivare proverbium; quod finxerit quemdam apud inferos funiculum plicantem, quem asinus devoret, perinde ac si tonderet. Eustathius [Il. ε'. p. 531, 9.] ad hæc usurpari scribit proverbium ἐπὶ τῶν ἀκερδῶν καὶ ἀλυσιτελῶν. SCHOTT. Conf. Eustath. Il. κ'. p. 787, 10.

39 [x] Ὄνου παρακύψεως: Μέμνηται ταύτης Μένανδρος ἐν Ἱε- A
ρείᾳ. Λέγουσι δὲ, ὅτι κεραμεύς τις ἔτρεφε πολλὰς ὄρνιθας ἐν τῷ ἐργαστηρίῳ· ὄνος δὲ παριὼν, ἀκολουθοῦντος ἀμελῶς τοῦ ὀνηλάτου, παρακύψας διὰ τῆς θυρίδος ἀνεσόβησε τὰς ὄρνιθας, καὶ τὰ ἐν τῷ ἐργαστηρίῳ συνέτριψαν σκεύη. Ὁ τοίνυν κύριος τοῦ ἐργαστηρίου ἐπὶ κρίσιν ἦγε τὸν ὀνηλάτην. Ἐρωτώμενος δὲ ἐκεῖνος ὑπὸ τῶν B
[y] ἀπαν(τών)των, τίνος κρίνοιτο, ἔλεγε, Παρακύψεως ὄνου. Ἐπὶ τῶν καταγελάστως οὖν συκοφαντουμένων εἴρηται ἡ παροιμία.

40 Οὐδὲν πρὸς τὸν Διόνυσον: Ἐπὶ τῶν τὰ μὴ προσήκοντα τοῖς ὑποκειμένοις [z] λεγόντων ἡ παροιμία εἴρηται. Ἐπειδὴ τῶν

x Ὄνου παρακύψεως] Lucianus in Asino [c. 45.] (sive is Lucius Patrensis est, de quo in Bibliotheca Photius noster) lepidam hanc fabulam enarrat, sibique vindicat, ex quo Apuleius transtulit lib. IX. Metamorph. seu Milesiarum: *Summo risu de meo prospectu cavillari non desinunt. Unde et de prospectu et umbra asini natum est frequens proverbium.* Suidas in textoris prospexisse officinam, telamque a gallinis diruptam fabulatur. Mire variat et hoc loco Vatican. Οἱ μὲν ἐπὶ κεραμέως· οἱ δὲ ἐπὶ κοροπλάθου· ἄλλοι δὲ ἐφ' ἱστοῦ. Ὀρνίθων γὰρ παρατρεφομένων ἐν ἐργαστηρίῳ πολλῶν, ὄνον διὰ τῆς παραθύρου παρακύψαι ὑπανέντος αὐτοῦ τὸν ἀγωγέα τοῦ ὀνηλάτου. Τὰς δὲ ὄρνεις ἐκπλαγείσας καὶ φοβηθείσας ὑπὸ τῆς ὄψεως, ἤτοι τὰ τοῦ κεραμέως σκεύη, ἢ τὰς τοῦ κοροπλάθου νύμφας, ἢ τὸν ἱστὸν συντρίψαι· ὁ τοίνυν κύριος τοῦ ἐργαστηρίου εἰς κρίσιν εἰσάγων τὸν ὀνηλάτην. Ἐρωτώμενος τοίνυν τίνος κρίνοιτο, ἔλεγεν, Ὄνου παρακύψεως. Εἴρηται τοίνυν ἐπὶ τῶν καταγελάστως συκοφαντουμένων. SCHOTT.

y ἀπάντων] Leg. ἀπαντώντων. Recte Schottus vertit *ab occursantibus.* τοὺς ἀπαντῶντας Vat. App. IV. 9. [B. 897.] VALCKEN. ἀπάντων F.

z λεγόντων] In Vaticano scriptum φλυαρούντων. Verum alii alias hujus proverbii origines adferunt. Strabo lib. VIII. [p. 552=584.] Geogr. ex Polybio de vasis Corinthiis Bacchum præferentibus, quibus Romani milites capta Corintho illuserint. Suidas et hanc ipsam Zenobii adfert, et aliam de Parrhasii tabula, ac de Epigene Sicyonio, qui in Bacchum scripserit tragœdiam, nec placuerit. Effertur et una voce ἀπροσδιόνυσον apud Plutarch. lib. I. [p. 615 A.] et IV. Sympos. et Ciceronem lib. XVI. ad Atticum: ubi tamen quidam ἀπροσδόκητον legendum contendunt. Utitur proverbio in Baccho Lucianus, ac venustus scriptor Heliodorus lib. II. Ἐπεισόδιον δὴ τοῦτο οὐδέν φασι πρὸς τὸν Διόνυσον ἐπεισκύκλησας. Observa autem duplicem adagii sensum; primum, cum ad rem nihil attinere, et ἄτοπα vitiose adferri significamus; alterum vero, cum pulcerrimæ rei fit cum minus pulcra comparatio, ut si dicas, *Nihil ad Venerem Coam, aut Phidiæ opus.* Ut Comicus ait: *Nihil ad illam quam paro.* Priori sensui respondeat illud, Οὐδὲν πρὸς ἔπος, aliaque id genus. Huic vero aptanda historia de Parrhasii Baccho affabre picto, quam ex Theæteti

χορῶν ἐξ ἀρχῆς εἰθισμένων διθύραμβον ᾄδειν εἰς τὸν Διόνυσον, οἱ A
ποιηταὶ ὕστερον ἐκβάντες τὴν συνήθειαν ταύτην, Αἴαντας καὶ Κενταύρους γράφειν ἐπεχείρουν. Ὅθεν οἱ θεώμενοι σκώπτοντες ἔλεγον, Οὐδὲν πρὸς τὸν Διόνυσον. Διὰ γοῦν τοῦτο τοὺς Σατύρους ὕστερον ἔδοξεν αὐτοῖς προεισάγειν, ἵνα μὴ δοκῶσιν ἐπιλανθάνεσθαι τοῦ θεοῦ. B

41 Οἶδα Σίμωνα καὶ Σίμων ἐμέ: [a]Τελχίνων φύσει βασκάνων ὄντων, (καὶ γὰρ τῷ τῆς Στυγὸς ὕδατι τὴν γῆν [b]καταρραίνοντες [c]ἄγονον ἐποίουν,) δύο ἐγένοντο ἡγεμόνες, Σίμων καὶ Νίκων. Ὑπερίσχυε δὲ ὁ Σίμων κακοτροπώτατος ὤν, ὥστε τὴν ἐπὶ Νίκωνι [d]φήμην ἀπαλεῖψαι. Διόπερ οἱ παροιμιαζόμενοι μόνον τὸν C
Σίμωνα ὀνομάζουσι. Λεχθείη δ' ἂν ἡ παροιμία ἐπὶ τῶν ἀλλήλους ἐπὶ κακίᾳ γινωσκόντων.

42 [e]Ὄνῳ τὶς ἔλεγε μῦθον· ὁ δὲ τὰ ὦτα ἐκίνει: Εἰς ἀναισθησίαν τινῶν ἡ παροιμία εἴρηται κατ' ἀμφότερα. Τό τε γὰρ ζῶον νωχελὲς ἐπὶ τὰ ἔργα, καὶ τὰ ὦτα κινεῖ, οἱονεὶ πρὸ τοῦ τινὰ D
λαλῆσαι πάντα ἀκήκοεν· ὅπερ ἐστὶ καὶ αὐτὸ ἀναισθησίας. Πῶς γὰρ [f]ἂν δύναιτό τις ἐγνωκέναι τὰ μὴ λαληθέντα αὐτῷ, κἂν ὦτα μεγάλα ὥσπερ ὄνος ἔχῃ;

43 [g]Οἰδίποδος ἀρά: Ταύτης μέμνηται Αἰσχύλος ἐν τοῖς Ἑπτὰ

libro Παροιμιῶν hîc Suidas commemorat. SCHOTT.

[a] Τελχίνων] De *Telchinis* Strabo lib. X. Etymologicus Cretenses sic nominat. Utitur divus Chrysostomus Homilia in Babylam: [Libanius ap. Chrys. T. II. p. 569A.] Ὦ δεξιᾶς Τελχῖνος. SCHOTT.

[b] καταρρέοντες] καταρραίνοντες B. Vid. n. ad Suidam p. 1853 G.

[c] ἄρνον] Rectius Vatican. Ἄγονον ἐποίουν. Desiderius vulgatum secutus exemplar reddidit: *Inducta in terram aqua Stygia, Arnon ædificarunt.* Placet et illud monere, in iisdem esse membranis pro κακοτροπώτατος, κακοτροπώτερος. Sed tanti non est. SCHOTT.

[d] φήμην addidi ex P. H.

[e] Ὄνῳ τις] Utitur venuste Galenus medicorum coryphæus lib. II. De different. pulsuum: Ἐπὶ τούτοις ὁ μὲν γέρων, ὥσπερ ὄνος, ἔσειεν ἤδη τὰ ὦτα. Idemque περὶ φυσικῶν δυνάμεων: Τοῖς δ' ἄλλοις οὕτω γενήσεται τὸ γράμμα περιττὸν, ὡς εἰ καὶ μῦθον ὄνῳ τὶς λέγει. Quomodo et Lucianus in eum qui librorum copia sibi placebat, jactabatque, *Asinus*, inquit, *es ad lyram, aures motitans.* Sumtum id ex Æsopi apologo. SCHOTT.

[f] ἂν accessit ex P. H.

[g] Οἰδίποδος ἀρά] De Thebanis nota historia, vel e Statii Thebaide, et supra adag. 68. Centuria II. Euripides in Phœnissis, et Sophocles in Œdipo Coloneo copiosius Œdipum imprecantem liberis inducunt, recitatque loca

ἐπὶ [h]Θήβας. Ἱστορεῖται δὲ, ὅτι Ἐτεοκλῆς καὶ Πολυνείκης, δι' A ἔθους ἔχοντες πέμπειν τῷ Οἰδίποδι ἑκάστου ἱερείου τὸν ὦμον, ἐπιλαθόμενοι [i]ἰσχίον ἔπεμψαν· ὁ δὲ νομίσας ὑβρίσθαι, κατηράσατο αὐτοῖς. Ἄλλοι δὲ λέγουσιν, ὅτι μετὰ τὸ ἀναγνωρισθῆναι Οἰδίπους τῇ μητρὶ αὐτοῦ Ἰοκάστῃ, τὰς ἰδίας ὄψεις ἐτύφλωσεν. Γνόντων δὲ τῶν ἐγχωρίων τὸ γενόμενον μύσος, καὶ τῶν Θηβῶν B Οἰδίπουν ἐξελαυνόντων, τοῖς παισὶ κατηράσατο, ἐπεὶ διωκομένῳ τῆς πόλεως οὐκ ἐπήμυναν· διὰ τοῦτο καὶ ὑπ' ἀλλήλων ὕστερον ἀνῃρέθησαν.

44 [k]Οἰταῖος δαίμων: Κλέαρχος φησὶν, ὅτι δαίμων τὶς Οἰταῖος ἐπωνομάσθη, ὃς ὕβριν καὶ ὑπερηφανίαν πάνυ ἐμίσησεν. C

45 Οἴωι με ὁ δαίμων τέρατι συγκαθεῖρξεν: Ἐπὶ τῶν δυσανασχετούντων ἐπί τινι δυσχερεῖ πράγματι λέγεται ἡ παροιμία. Κύκλωψ γάρ ἐστι δρᾶμα [l]Φιλοξένου τοῦ ποιητοῦ, ἐν ᾧ ὁ Ὀδυσσεὺς περισχεθεὶς [m]τῷ τοῦ Κύκλωπος σπηλαίῳ λέγει,

Οἵῳ μ' ὁ δαίμων τέρατι [n]συγκαθεῖρξεν. D

46 [o]Ὅσα Μῦς ἐν Πίσσηι: Αὕτη ἡ παροιμία εἴρηται ἐπὶ τῶν

Erasmus. Diogenes Cynicus apud Laërtium Diogenem Τραγικὰς ἀρὰς hinc etiam extulit. SCHOTT.

[h] Θήβας] Θήβαις H. qui mox om. ὅτι.

[i] ἰσχίαν] ἰσχία P. Leg. ἰσχίον. Vid. Schol. Soph. Œd. Col. 1375.

[k] Οἰταῖος] Eadem pæne Diogenianus refert. Herculem autem significari arbitror, qui et *Œtæus* teste Diodoro, Ovidio, et Seneca Tragico dictus, et auctore Q. Flacco in deos relatus est, Heros effectus Oda. SCHOTT.

[l] Φιλοξένου] *Philoxeni* drama *Galatea* fuit, quam amicam Cyclops, hoc est, Dionysius tyrannus adamarit, e quo versus Athenæus citat. Historiam e Suida de Latomiis commemorat Chiliastes in adagio, [II. 1, 31.] *Lapidicinas me abducito*, et Junius in adag. *Philoxeni libellus*, Giraldus in ejus vita, Dialogo IX. Histor. poetarum. Vatic. autem hoc loco legit: ἐν ᾧ Ὀδυσσεὺς λέγει τὸ τοιοῦτον, ceteris prætermissis. SCHOTT.

[m] τῷ] τῷ τοῦ P.

[n] συγκαθεῖρξεν] Valckenærius ad Eurip. Hippol. 1389. malit συγκατῴκισεν.

[o] Ὅσα Μῦς] Eadem Suidas, addens Olympiade centesima semel dumtaxat vicisse, neque de animali in pice sermonem ait, de quo aliud, μῦς ἄρτι πίσσης γευόμενος. Male itaque utrobique πίσσῃ pro Πίσῃ legitur. Diversum ab hoc proverbium in Jure Pontificio, *Mus in pera*. cap. Etsi. De Judæis. De his autem certaminibus Plutarchus V. Symposiac. Phlegon Trallianus in Olympicis, etiam in Photii Bibliotheca, et in Agonisticis Petrus Faber, in Gymnasticis Hieron. Mercurialis, in Saturnalibus denique Lipsius noster. SCHOTT.

νενικηκότων τοὺς ἀνταγωνιστὰς διὰ πολλοῦ πόνου· Μῦς γὰρ Ταραντῖνος πύκτης ἐν Πίσσῃ ἀγωνιζόμενος, καὶ πρὸς πολλοὺς ἔχων ἀντιμάχους, πολλὰς πληγὰς λαβὼν, μόλις ἐνίκησεν. A

47 ᵖΟΥΔΕΝ ΙΕΡΟΝ ΥΠΑΡΧΕΙΣ: Κλέαρχος φησὶν, ὅτι Ἡρακλῆς ἰδὼν τὸν Ἄδωνιν ἱδρυμένον, ἔφη, ΟΥΔΕΝ ΙΕΡΟΝ. Εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν παντελῶς εὐτελῶν καὶ ἀχρήστων. B

48 ᵠΟΥΤΟΣ ΑΛΛΟΣ ΗΡΑΚΛΗΣ: Κλέαρχος ἐξηγούμενος τὴν παροιμίαν φησὶ τὸν Βριαρέω καλούμενον Ἡρακλέα ἐλθεῖν εἰς Δελφοὺς, καὶ λαβόντα τὶ τῶν ἐκεῖ κειμηλίων, κατά τι παλαιὸν ἔθος, ὁρμῆσαι ἐπὶ τὰς Ἡρακλέους στήλας καλουμένας, καὶ τῶν ἐκεῖ περιγενέσθαι. Χρόνῳ δὲ ὕστερον τὸν Τύριον Ἡρακλέα ἐλθεῖν εἰς C Δελφοὺς χρησόμενον τῷ μαντείῳ· τὸν δὲ θεὸν προσειπεῖν αὐτὸν ἄλλον Ἡρακλέα· καὶ οὕτω τὴν παροιμίαν κρατῆσαι.

49 ʳΟΥΔΕ ΗΡΑΚΛΗΣ ΠΡΟΣ ΔΥΟ: Φασὶν Ἡρακλέα θέντα τὸν Ὀλυμπιακὸν ἀγῶνα, πιστεύσαντά τε τῇ ἑαυτοῦ δυνάμει, τῇ

ᵖ Οὐδὲν ἱερὸν] Theocritus in Hodœporicis: [V. 21.] Ἀλλ' οὖν αἴ κα λῇς ἔριφον θέμεν, ἔστι μὲν οὐδὲν Ἱερόν. Ad quem Scholiastes locum *Cleandrum* nominat, depravate ut opinor, qui hîc *Clearchus* est etiam in proximo proverbio. Addit Suidas ideo Adonidem simulacro indignum Herculi visum, vel quod non nisi bene de hominibus meritis statui solerent, vel quod ad ejus statuam confugientibus, ut alias semper, non pateret asylum. SCHOTT.

ᵠ Οὗτος ἄλλος] Utitur Aristoteles Ethic. Eudemiorum lib. VII. [c. 12.] Ὁ γὰρ φίλος βούλεται εἶναι, ὥσπερ ἡ παροιμία φησὶν, Ἄλλος Ἡρακλῆς, ἄλλος οὗτος. Plutarchi in Thesea locum attuli ad V. 33. proverb. Οὐκ ἄνευ γε Θησέως. M. Terentius Varro Menippæam Satyram hac ἐπιγραφῇ ornavit, teste Macrobio, refertque ab illo numeratos tres et quadraginta. Vide Lilii Gyraldi de Hercule Syntagma, et Erasmum Chil. I. Centuria 7. Ad eumdem modum Aristides de Græcorum oratorum principe Demosthene *Mercurium alterum* dixit. SCHOTT.

ʳ Οὐδὲ Ἡρακλῆς] Vatican. his verbis explicat: Ἡρακλῆς τῇ ἑαυτοῦ πιστεύσας δυνάμει κατὰ τὸν Ὀλυμπιακὸν ἀγῶνα εἰσῆλθε πρὸς δύο πυκτεύσων τῇ δευτέρᾳ πενταετηρίδι· ἡττήθη δὲ τῇ προτέρᾳ δύο ἀποκτείνας, καὶ Εὔρυτον καὶ Κλέατον. Suidas eadem prope commemorat, nisi quod Τέατος alter nominetur, qui hîc Κτέατος est. Plato vero in Euthydemo [p. 297 C.] ad fabulam retulit venuste, quod cum hydra et cancro certarit Hercules, victusque Iolai implorarit auxilium. Idem utitur adagio lib. De legibus secundo [XI. p. 919 B.] et in Phædone [p. 89 C.] Homerus vero non raro, quod Catullus in Epithalamio dixit: *noli pugnare duobus*. SCHOTT. Vid. Schol. Platon. p. 11. Schol. Aristid. T. III. p. 429.

δευτέρᾳ πενταετηρίδι πρὸς δύο πυκτεύσαντα ἡττηθῆναι. Λέγουσι A *δὲ τούτους εἶναι οἱ μὲν, Λάϊον καὶ Φέρανδρον· οἱ δὲ, Κτέατον καὶ Εὔρυτον.*

50 ΟἹ ΚΡῆΤΕΣ ΤῊΝ ΘΥΣΊΑΝ: *Ἀγαμέμνων, ὥς φασι, χειμασθεὶς κατηνέχθη εἰς Κρήτην, καὶ ἀναβὰς εἰς τὸ* [s]*Πολυρρήνιον, θυσίαν ἐπετέλει. Ἐν τούτῳ δὲ οἱ αἰχμάλωτοι τὰς ναῦς ἐνέπρησαν· οὗ* B *ἀπαγγελθέντος αὐτῷ, μεσούσης τῆς θυσίας, τὸ μὲν καιόμενον ἱερεῖον καταλιπεῖν λέγεται, ἐλθεῖν δὲ πρὸς θάλασσαν, ταραχθέντα, καὶ μίαν μόλις εὑρόντα ναῦν, ἐπ' αὐτῆς ἀναχθῆναι, πολλὰ καταρασάμενον τοῖς τὴν* [t]*χώραν οἰκοῦσιν. Ὅθεν εἴ ποτε ταραχώδης θυσία* [u]*γένοιτο, Κρητικὴν καλεῖσθαι.* C

51 [x]Ὁ ΣΙΚΕΛΟῚΣ ΤῊΝ ΘΆΛΑΣΣΑΝ: *Σικελὸς, φασὶν, ἔμπορος σῦκα ἄγων ἐναυάγησεν· εἶτα ἐπὶ τῆς πέτρας καθήμενος, καὶ ὁρῶν τὴν θάλασσαν ἐν γαλήνῃ, ἔφη, Οἶδα ὃ θέλει, σῦκα θέλει.*

52 [y]ὍΠΟΥ ΑἹ ἜΛΑΦΟΙ ΤᾺ ΚΈΡΑΤΑ ἈΠΟΒΆΛΛΟΥΣΙΝ: *Ὁ Δήμων*

[s] *Πολυρρήνιον*] Sic Cretæ opidum dictum ab ovium copia, teste Stephano. Falluntque hîc operæ adagiorum Erasmi, qui pro *incensis navibus*, *conscensis* vitiose hactenus ediderunt. Sic enim Græce, *Ἐν τούτῳ δὲ οἱ αἰχμάλωτοι τὰς ναῦς ἐνέπρησαν.* Vatican. aliter rursum explicat: *Ἀγαμέμνων εἰς Κρήτην καταχθεὶς καὶ θύων, ἐπειδὴ ἤκουσεν ἑαυτοῦ τὰς ναῦς ἐμπρῆσαι τοὺς αἰχμαλώτους, τὴν θυσίαν ἀπέλιπε, καὶ κατελθὼν μίαν εὗρε ναῦν σῶαν· εἰς ἣν ἀναχθεὶς κατηράσατο τοῖς τὴν πόλιν οἰκοῦσιν. Ὅθεν ἐπὶ τῶν ταραχωδῶν θυσιῶν ἡ παροιμία.* SCHOTT.

[t] *χώραν*] *πόλιν* H.

[u] *γένοιτο*] *γένοιτο* P. H.

[x] *Ὁ Σικελὸς*] Suidas eadem et Diogenianus. Affine huic videatur illud infra, *Σῦκον αἰτεῖς*, adag. 92. Maris *γαλήνη* seu tranquillitas Græca etiam voce *malacia* appellatur a Julio Cæsare, lib. III. [c. 15.] De bello Gallico: *Conversis in eam partem navibus, quo ventus ferebat, tanta subito malacia ac tranquillitas extitit.* Quod Græcus interpres, quisquis est, a Gothof. Jungermanno editus, reddidit *τοσαύτη εὐθὺς γαλήνη συνέβη*, &c. Senecæ etiam Epistola LXVIII. amplius est *malacia* quam *tranquillitas.* Festus Pompeius: *Flustra dicuntur, cum in mari fluctus non movetur, quam Græci μαλακίαν vocant.* Simili modo *pellaciam* a pelliciendo T. Lucretius dixit lib. II. *Subdola cum ridet placidi pellacia ponti.* Et lib. V. *Nec poterat quemquam placidi pellacia ponti Subdola pellicere in fraudem ridentibus undis.* SCHOTT.

